Και διαγενομένου του σαββάτου, μαρία η μαγδαληνή, και μαρία ιακώβου και σαλώμη ηγόρασαν αρώματα, ίνα ελθούσαι αλείψωσι τον ιησούν. και λίαν πρωΐ της μιάς σαββάτων, έρχονται επί το μνημείον ανατείλαντος του ηλίου, και έλεγον προς εαυτάς. τις αποκυλίσει ημίν τον λίθον εκ της θύρας του μνημείου. και αναβλέψασαι θεωρούσιν ότι αποκεκύλισται ο λίθος, ην γαρ μέγας σφόδρα. και εισελθούσαι εις το μνημείον, είδον νεανίσκον καθήμενον εν τοις δεξιοίς περιβεβλημένον στολήν λευκήν, και εξεθαμβήθησαν. ο δε λέγει αυταίς. μη εκθαμβείσθε. ιησούν ζητείτε τον ναζαρηνόν τον εσταυρωμένον, ηγέρθη ουκ εστίν ώδε, ίδε ο τόπος όπου έθηκαν αυτόν. αλλ υπάγετε, είπατε τοις μαθηταίς αυτού και τω πέτρω ότι προάγει υμάς εις την γαλιλαίαν, εκεί αυτόν όψεσθε, καθώς είπεν υμίν. και εξελθούσαι, έφυγον από του μνημείου. είχε δε αυτάς τρόμος και έκστασις, και ουδενί ουδέν είπον, εφοβούντο γαρ. αναστάς δε ο ιησούς πρωΐ πρώτη σαββάτου, εφάνη πρώτον μαρία τη μαγδαληνή, αφ ης και εκβεβλήκει επτά δαιμόνια. εκείνη πορευθείσα, απήγγειλε τοις μετ αυτού γενομένοις πενθούσι και κλαίουσι. κακείνοι ακούσαντες ότι ζη και εθεάθη υπ αυτής, ηπίστησαν. μετά δε ταύτα, δυσίν εξ αυτών περιπατούσιν εφανερώθη εν ετέρα μορφή πορευομένοις εις αγρόν. κακείνοι απελθόντες απήγγειλαν τοις λοιποίς, ουδέ εκείνοις επίστευσαν. ύστερον ανακειμένοις αυτοίς τοις ένδεκα, εφανερώθη και ωνείδισε την απιστίαν αυτών και σκληροκαρδίαν, ότι τοις θεασαμένοις αυτόν εγηγερμένον, ουκ επίστευσαν. και είπεν αυτοίς. πορευθέντες εις τον κόσμον άπαντα, κηρύξατε το ευαγγέλιον πάση τη κτίσει. ο πιστεύσας και βαπτισθείς σωθήσεται, ο δε απιστήσας κατακριθήσεται. σημεία δε τοις πιστεύσασι ταύτα παρακολουθήσει. εν τω ονόματι μου δαιμόνια εκβαλούσι, γλώσσαις λαλήσουσι καιναίς, όφεις αρούσι, καν θανάσιμόν τι πίωσιν, ου μή αυτούς βλάψη. επί αρρώστους χείρας επιθήσουσι και καλώς έξουσιν. ο μεν ουν κύριος μετά το λαλήσαι αυτοίς, ανελήφθη εις τον ουρανόν, και εκάθισεν εκ δεξιών του θεού. εκείνοι δε εξελθόντες εκήρυξαν πανταχού του κυρίου συνεργούντος και τον λόγον βεβαιούντος, διά των επακολουθούντων σημείων. αμήν.

Τέλος του κατά μάρκον αγίου ευαγγελίου.

A

Et cum tranſiſſet ſabbatum: maria magdalene et maria iacobi: et ſalome emerũt aromata vt venientes vngerent ieſum. Et valde mane vna ſabbatoꝝ veniunt ad monumentũ: orto iam ſole. Et dicebant ad inuicẽ. Quis reuoluet nobis lapidẽ ab oſtio monumenti? Et reſpicientes viderunt reuolutum lapidem. Erat quippe magn⁹ valde. Et introeũtes in monumentũ viderũt iuuenẽ ſedẽtem in dextris coopertum ſtola candida: ⁊ obſtupuerũt.

Mat. 28. a. Luce. 24. a. Johã. 20. a

B

Qui dicit illis. Nolite expaueſcere. Jeſũ queritis nazarenum crucifixum: ſurrexit non eſt hic. Ecce locus: vbi poſuerũt eũ. Sed ite dicite diſcipulis eius ⁊ petro: quia precedet vos in galileam. Jbi eũ videbitis ſicut dixit vobis. At illę exeũtes fugerũt de monumẽto. Jnuaſerat enim eas tremor et pauor: ⁊ nemini quicq̃ dixerũt. Timebant enim.

Mat. 28. a. Luce. 24. a

Mat. 28. a. Luce. 24. b

C

Surgẽs autẽ ieſus mane prima ſabbati apparuit primo marie magdalene: de qua eiecerat ſeptem demonia. Jlla vadens nunciauit his qui cum eo fuerãt lugentibus ⁊ flentibus: ⁊ illi audientes quia viueret ⁊ viſus eẽt ab ea: nõ crediderũt. Poſt hec autẽ duob⁹ ex his ambulãtib⁹ oſtenſus eſt in alia effigie euntibus in villam: et illi euntes nunciauerunt ceteris: nec illis crediderũt. Nouiſſime autẽ recumbentibus illis vndecim apparuit: et exprobrauit incredulitatẽ eoꝝ: ⁊ duritiã cordis: quia his qui viderant eũ reſurrexiſſe nõ crediderũt. Et dixit eis. Euntes in mundum vniuerſum: p̄dicate euangeliũ oĩ creature.

Luce. 24. c.

D

Qui crediderit ⁊ baptizat⁹ fuerit ſalu⁹ erit: q̃ vero nõ crediderit ꝯdẽnabitur. Signa autẽ eos q̃ crediderit hec ſequentur. Jn nomine meo demonia eijcient: linguis loq̃ntur nouis: ſerpẽtes tollẽt. Et ſi mortiferũ q̃d biberit: nõ eis nocebit. Super egros manus imponent ⁊ bene hẽbũt. Et dñs quidẽ ieſus poſtq̃ locut⁹ eẽt eis aſſumptus eſt in celum: et ſedit a dextris dei. Jlli autem profecti predicauerũt vbiq̃ domino cooperante ⁊ ſermonem confirmante ſequentibus ſignis.

Mat. 10. b

Luce. 10. c.

Actuum. 1. b Luce. 24. g Apoca. 11. c

Explicit euangelium ſecundum marcum.

Incipit prefatio beati hieronymi preſbiteri in euangelium ſecundum Lucam.

LUcas ſyrus natione antiocenſis: arte medicus diſcipulus apoſtolorum poſtea paulum ſecu= tus vſq; ad conſummationem eius ſeruiens dño ſine crimine: nam neq; vxorem vnq; habens neq; filios: ſeptuaginta ⁊ quattuoꝛ annoꝝ obijt in bithinia plenus ſpiritu ſancto. Qui cuꝫ iam ſcripta eſſent euãgelia: p matheũ quidẽ in iudea: per marcũ aũt in italia: ſancto inſtigante ſpũ in achaie partibus hoc ſcripſit euãgeliũ: ſignificans etiam ipſe in principio ante ſuuꝫ alia eſſe deſcripta. Cui extra ea q̃ ordo euãgelice diſpoſitiõis expoſcit: ea maxie neceſſitas laboris fuit vt primũ grecis fideli bꝰ oĩ ꝓphetatiõe vẽturi in carnẽ dei xp̃i manifeſtata hũanitate: ne iudaicis fabulis attẽti i ſolo legis deſide rio tenẽnẽ: vl' ne hẽticis fabul' ⁊ ſtult' ſollicitationibꝰ ſeducti exciderẽt a ṽitate: elaboraret. Dehinc vt i pꝛici pio euãgelij iohãnis natiuitate preſũpta: cui euãgeliũ ſcribẽt: ⁊ i quo electꝰ ſcribẽt idicaret: ꝯteſtans in ſe cõ pleta eſſe: que eſſent ab alijs inchoata. Cui ideo poſt baptiſmũ filij dei a perfectione generationis in chri ſto implete: repetende a principio natiuitatis humane poteſtas ꝑmiſſa eſt: vt requirẽtibus demõſtraret in quo apprehendens erat per nathan filium dauid introitu recurrentis in deum generationis admiſſo: in diſparabilis dei predicans in hominibus chriſtũ ſuuꝫ: perfecti opus hominis redire in ſe per filium face ret: que per dauid patrem venientibus iter prebebat in chriſto. Cui luce nõ imerito et ſcribendoꝝ actu= um apoſtolorum poteſtas in miniſterio datur: vt deo in deum pleno et filio perditionis extincto: oratiõe ab apoſtolis facta: ſorte domini electionis numerus compleretur. Sicq; paulus conſummationẽ apoſto licis actibus daret: quem diu contra ſtimulum recalcitrantem dominus elegiſſet. Quod et legentibꝰ ac requirentibus deum et ſi per ſingula expediri a nobis vtile fuerat: ſciens tamen ꝙ operantem agricolã oporteat primum de fructibus ſuis edere: vitauimus publicam curioſitatem: ne non tam volentibus de um demonſtraſſe videremur q̃ faſtidientibus prodidiſſe.

Explicit prefatio.

[a]Προοίμιον τού [b]αγίου [c]λουκά [d]εις το [e]αυ
τού [f]ευαγγέλιον.

Επειδήπερ [b]ϖολλοί [c]επεχείρησαν [d]ανα=
τάξασθαι [e]διήγησιν [f]ϖερί των [g]ϖεπλη=
ροφορημένων [h]εν [i]ημίν [k]ϖραγμάτων,
[l]καθώς [m]ϖαρέδωσαν [n]ημίν οι [o]απ' [p]αρ=
χής [q]αυτόπται [r]και [s]υπηρέται [t]γενόμενοι του
[u]λόγου, [x]έδοξε [y]καμοί [z]ϖαρηκολουθηκότι [a]άνω
θεν [b]ϖάσιν [c]ακριβώς, [d]καθεξής [e]σοι [f]γράψαι [g]κρά
τιστε [h]θεόφιλε, [i]ινα [k]επιγνώς [l]περί [m]ων [n]κατηχή
θης [o]λόγων την [p]ασφάλειαν.

Incipit [a]prohemium [b]beati [c]Luce [d]in
[e]euangelium [c]ſuum:

QUoniã [a]q̃dẽ [b]multi [c]conati [c]ſũt
[d]ordinare [e]narrationes [g]que
[h]in [i]nobis [g]complete [g]ſunt [k]rerum
[l]ſicut [m]tradiderũt [n]nobiſ q̃ [o]ab [p]ini
tio [q]ipſi [q]viderunt [r]et [s]miniſtri [t]fuerunt
[u]ſermonis: [x]viſum [x]eſt [y]⁊ [y]mihi [z]aſſecuto
[b]oĩa [a]a [a]pꝛicipio [c]diligẽter: [d]ex [d]ordine [e]tibi
[f]ſcribere [g]optie [h]theophile: [i]vt [k]cognoſcas
eoꝝ [o]ṽboꝝ [l]de [m]q̃bꝰ [n]eruditꝰ [n]es [p]veritatẽ.

το [a]κατά [b]λουκάν [c]άγιον [d]ευαγγέλιον. Cap. i.

Εγένετο [b]εν ταις [c]ημέραις [d]ηρώδου
του [e]βασιλέως της [f]ιουδαίας [g]ιε=
ρεύς [h]τις [i]ονόματι [k]ζαχαρίας, [l]εξ [m]ε
φημερίας [n]αβιά, [o]και η [p]γυνή [q]αυ=
τού [r]εκ των [s]θυγατέρων [t]ααρών,
[u]και το [x]όνομα [y]αυτής [z]ελισάβετ. [a]ήσαν [b]δε [c]δίκαι
οι [d]αμφότεροι [e]ενώπιον του [f]θεού, [g]ϖορευόμε=
νοι [h]εν [i]ϖάσαις ταις [k]εντολαίς [l]και [m]δικαιώμασι
του [n]κυρίου [o]άμεμπτοι. [p]και [q]ουκ [r]ην [s]αυτοίς [t]τέ
κνον, [u]καθότι η [x]ελισάβετ [y]ην [z]στείρα, [a]και [b]αμ=
φότεροι [c]προβεβηκότες [d]εν ταις [e]ημέραις [f]αυτών
[g]ήσαν. [h]εγένετο [i]δε [k]εν τω [l]ιερατεύειν [m]αυτόν [n]εν
τη [o]τάξει της [p]εφημερίας [q]αυτού [r]έναντι του
[s]θεού, [t]κατά το [u]έθος της [x]ιερατείας, [y]έλαχε του
[z]θυμιάσαι [a]εισελθών [b]εις τον [c]ναόν του [d]κυρί=

Incipit [o]euangeliũ [a]ſcd̃ꝫ [b]Lucam. Cap. i.

FUit [b]in [c]diebus [d]herodis A
[e]regis [f]iudee [g]ſacerdos
[h]quidã [i]noĩe [k]zacharias [l]de
[m]vice [n]Abia: [o]⁊ [p]vxoꝛ [q]illiꝰ
[r]de [s]filiabus [t]aaron
[u]et [x]nomẽ [y]eius [z]eliſabeth. [a]Erant [b]aũt [c]iuſti
[d]ambo [e]ante [f]deum [g]incedentes
[h]in [i]oĩbus [k]mandatis [l]et [m]iuſtificationibus
[n]dñi [o]ſine [o]querela. [p]Et [q]nõ [r]erat [s]illiſ [t]filiꝰ:
[u]eo [u]ꝙ [y]eſſet [x]eliſabeth [z]ſterilis: [a]⁊ [b]ambo
[c]proceſſiſſent [d]in [e]diebus [f]ſuis.
[h]Factũ [h]ẽ [i]ãt [k]cũ [l]ſacerdotio [l]fũgeret [m]zacha
[o]ordine [p]vicis [q]ſue [r]ante rias [n]in
[s]dñ [t]ſcd̃ꝫ [u]ꝯſuetudinẽ [x]ſacerdotij: [y]ſorte [y]exijt
[z]vt [z]incẽſũ [z]poneret [a]ingreſſꝰ [b]in [c]tẽplũ [d]dñi.

© Biblioteca Nacional de España

οὐ. καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προ-
σευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος.
ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἑστὼς ἐκ
δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος.
καὶ ἐταράχθη ζαχαρίας ἰδών, καὶ φόβος ἐ-
πέπεσεν ἐπ' αὐτόν. εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγ-
γελος, μὴ φοβοῦ ζαχαρία, διότι εἰσηκούσ-
θη ἡ δέησίς σου, καὶ ἡ γυνή σου ἐλισάβετ
γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα
αὐτοῦ ἰωάννην, καὶ ἔσται χαρά σοι καὶ ἀ-
γαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐ-
τοῦ χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον
τοῦ κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ,
καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ
κοιλίας μητρὸς αὐτοῦ, καὶ πολλοὺς τῶν
υἱῶν ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον τὸν θε-
ὸν αὐτῶν, καὶ αὐτὸς προελεύσεται ἐνώπιον
αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει ἠλίου, ἐ-
πιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ
ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι κυ-
ρίῳ λαὸν κατεσκευασμένον. καὶ εἶπε ζαχαρί-
ας πρὸς τὸν ἄγγελον. κατὰ τί γνώσομαι
τοῦτο, ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυ-
νή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.
καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ. ἐγώ
εἰμι γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ θε-
οῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σέ, καὶ
εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδοὺ ἔσῃ
σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι
ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπί-
στευσας τοῖς λόγοις μου. οἵτινες πληρωθή-
σονται εἰς τὸν καιρὸν αὐτῶν. καὶ ἦν ὁ λαὸς
προσδοκῶν τὸν ζαχαρίαν, καὶ ἐθαύμαζον ἐν
τῷ χρονίζειν αὐτὸν ἐν τῷ ναῷ. ἐξελθὼν δέ,
οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς. καὶ ἐπέγνω-
σαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ, καὶ
αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κω-
φός. καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι
τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶ-
κον αὐτοῦ. μετὰ δὲ ταύτας τὰς ἡμέρας, συ-
νέλαβεν ἐλισάβετ ἡ γυνὴ αὐτοῦ. καὶ περιέ-
κρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα. ὅτι
οὕτως μοι πεποίηκεν ὁ κύριος, ἐν ἡμέραις
αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀν-
θρώποις, ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη
ὁ ἄγγελος γαβριὴλ ὑπὸ τοῦ θεοῦ εἰς πό-
λιν τῆς γαλιλαίας ᾗ ὄνομα ναζαρέτ, πρὸς
παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα
ἰωσήφ, ἐξ οἴκου δαυίδ, καὶ τὸ ὄνομα τῆς
παρθένου μαριάμ. καὶ εἰσελθὼν ὁ ἄγγε-
λος πρὸς αὐτήν, εἶπε. χαῖρε κεχαριτωμένη
ὁ κύριος μετὰ σοῦ. εὐλογημένη σὺ ἐν γυ-
ναιξίν. ἡ δὲ ἰδοῦσα, διεταράχθη ἐπὶ τῷ λό-

Et omnis multitudo populi erat orans
foris hora incenſi.
Apparuit aũt illi angelus dñi ſtans a ĩ.2.b. Actuũ.12.a
dextris altaris incenſi.
Et zacharias turbatꝰ ē vidēs: ⁊ timor
ſuꝑ eũ. Ait aũt ad illũ angelꝰ. irruit
Ne timeas zacharia qm̃ exaudita eſt
deprecatio tua. Et vxor tua eliſabeth
pariet tibi filium et vocabis nomen
eius iohannē: et erit gaudiũ tibi et ex
ultatio: et multi in natiuitate eius
gaudebunt. Erit enim magnus coram B
dño: et vinum et ſiceram non bibet. Judi.13.b
Et ſpiritu ſancto replebitur adhuc ex
vtero matris ſue: et multos
filiorum iſrael conuertet ad dñm deum
ipſorum. Et ipſe precedet ante
illum in ſpiritu et virtute helie vt con
uertat corda patrum in filios: et
icredulos ad prudentiã iuſtoꝝ: pare do
mino plebē perfectam. Et dixit zachari
as ad angelum. Unde hoc ſciam.
Ego eĩ ſum ſenex: et vxor Gen.18.b
mea proceſſit in diebus ſuis.
Et reſpondens angelꝰ dixit ei. Ego
ſum gabriel qui aſto ante deum:
et miſſus ſum loqui ad te: et
hec tibi euangelizare. Et ecce eris
tacens et non poteris loqui vſqꝫ in
diem quo hec fiant: pro eo ꝙ nõ cre
didiſti verbis meis que implebuntur
in tempore ſuo. Et erat plebs
expectans zachariam ⁊ mirabantur ꝙ
tardaret ipſe in templo. Egreſſus aũt
non poterat loqui ad illos. Et cogno
uerunt ꝙ viſionē vidiſſet in templo. Et
ipſe erat innuēs illis: et ꝑmanſit mutꝰ.
Et factum eſt vt impleti ſunt dies
officij eius: abijt in domum
ſuam. Poſt hos autem dies concepit C
eliſabeth vxor eius: et occultabat
ſe menſibus quinqꝫ dicens. Quia
ſic fecit mihi dominus in diebus
qbꝰ reſpexit auferre obprobriũ meũ in
In mēſe aũt ſexto miſſus eſt ter hoĩes.
angelus gabriel a deo in ciuitatem
galilee cui nomen nazareth ad
Ꝟginē deſpõſatam viro cui nomen erat
ioſeph de domo dauid: et nomen Mat.1.c
virginis maria. Et ingreſſus angelus
ad eam dixit. Aue gratia plena
dominꝰ tecũ: bñdicta tu in mulieribꝰ. Judi.13.c. Judicũ.6.c
Que cũ audiſſet turbata eſt in ſermone

© Biblioteca Nacional de España

γω αὐτού, καὶ διελογίζετο ποταπός εἰή/ο
ασπασμός ούτος. και είπεν/ο άγγελος αυ
τή. μη φοβού μαριάμ, εύρες γαρ χάριν πα
ρά/τω θεώ. και ιδού συλλήψη εν γαστρί,
και τέξη υιόν, και καλέσεις/το όνομα αυ=
τού ιησούν. ούτος έσται μέγας, και υιός υ
ψίστου κληθήσεται, και δώσει αυτώ κύρι=
ος/ο θεός/τον θρόνον δαυίδ/του πατρός αυ
τού, και βασιλεύσει επί/τον οίκον ιακώβ εις
/τους αιώνας, και/της βασιλείας αυτού ουκ
έσται τέλος. είπε δε μαριάμ προς/τον άγ=
γελον. πως έσται τούτο, επεί άνδρα ου γι=
νώσκω. και αποκριθείς/ο άγγελος είπεν αυ=
τή. πνεύμα άγιον επελεύσεται επί σε, και
δύναμις υψίστου επισκιάσει σοι. διό και
/το γεννώμενον εκ σού άγιον, κληθήσεται υ
ιός θεού. και ιδού ελισάβετ/η συγγενής σου
και αύτη συνειληφύια υιόν εν γήρει αυτής
και ούτος μην έκτος εστίν αυτή/τη καλου=
μένη στείρα, ότι ουκ αδυνατήσει παρά/τω
θεώ παν ρήμα. είπε δε μαριάμ. ιδού/η δού
λη κυρίου γένοιτο μοι κατά/το ρήμα σου
και απήλθεν απ αυτής/ο άγγελος. αναστά=
σα δε μαριάμ εν/ταις ημέραις ταύταις, επο
ρεύθη εις/την ορεινήν μετά σπουδής εις πό=
λιν ιούδα, και εισήλθεν εις/τον οίκον ζαχα=
ρίου, και ησπάσατο/την ελισάβετ. και εγένε
το ως ήκουσεν/η ελισάβετ/τον ασπασμόν
/της μαρίας, εσκίρτησε/το βρέφος εν/τη κοιλί
α αυτής. και επλήσθη πνεύματος αγίου/η ε
λισάβετ, και ανεφώνησε φωνή μεγάλη και εί
πεν. ευλογημένη σύ εν γυναιξί, και ευλο=
γημένος/ο καρπός/της κοιλίας σου. και πό=
θεν μοι τούτο, ίνα έλθη/η μήτηρ/του κυρίου
μου προς με. ιδού γαρ ως εγένετο/η φωνή
/του ασπασμού σου εις/τα ώτα μου, εσκίρ
τησε/το βρέφος εν αγαλλιάσει εν/τη κοιλία
μου. και μακαρία/η πιστεύσασα, ότι έσται
τελείωσις/τοις λελαλημένοις αυτή παρά
κυρίου. και είπε μαριάμ. μεγαλύνει/η ψυ
χή μου/τον κύριον. και ηγαλλίασε/το πνεύ=
μα μου επί/τω θεώ/τω σωτήρι μου. ότι επέ
βλεψεν επί/την ταπείνωσιν/της δούλης αυ
τού, ιδού γαρ από/του νυν μακαριούσι με
πάσαι/αι γενεαί. ότι εποίησε μοι μεγαλεία
/ο δυνατός, και άγιον/το όνομα αυτού. και
/το έλεος αυτού εις γενεάς γενεών/τοις φο=
βουμένοις αυτόν. εποίησε κράτος εν βραχίο
νι αυτού, διεσκόρπισεν υπερηφάνους διανοί
α καρδίας αυτών. καθείλε δυνάστας από
θρόνων, και ύψωσε ταπεινούς. πεινώντας
ενέπλησεν αγαθών, και πλουτούντας εξα=
πέστειλε κενούς. αντελάβετο ισραήλ παιδός

eius: et cogitabat qualis eſſet
iſta ſalutatio. Et ait angelus ei.
Ne timeas maria: iueniſti ei grãz apđ
deum. Ecce concipies in vtero Eſaie.7.c
et paries filiuz: et vocabis nomẽ eiꝰ Mat.1.d.
ieſum. Hic erit magnꝰ ⁊ filiꝰ altiſſimi
vocabitur. Et dabit illi dominus
deus ſedem dauid patris eius:
et regnabit in domo iacob in Miche.4.c
eternum: et regni eius non
erit finis. Dixit aũt maria ad angelũ.
Quomodo fiet iſtđ qm̃ virũ nõ cogno= D
ſco? Et reſpondens angelus dixit ei.
Spiritus ſanctus ſuperueniet in te: et
virtꝰ altiſſimi obũbrabit tibi. Ideoq̃ ⁊
quod naſcetur ex te ſanctum vocabit̃ fi
lius dei. Et ecce eliſabeth cognata tua
⁊ ipſa concepit filiuz in ſenectute ſua:
⁊ hic menſis eſt ſextus illi que vocat̃
ſterilis: quia non erit ĩpoſſibile apud
deũ oẽ v̄bũ. Dixit ãt maria. Ecce an
cilla domini fiat mihi ſecundũ v̄bũ tuũ.
Et diſceſſit ab illa angelus. Exurgenȝ
autem maria in diebus illis abijt
in montana cum feſtinatione in ciuitatẽ
iuda et intrauit in domuȝ zacharie
et ſalutauit eliſabeth. Et factum eſt
vt audiuit ſalutationem
marie eliſabeth: exultauit ĩfãs in vtero
eius. Et repleta eſt ſpiritu ſancto eliſa
beth: ⁊ exclamauit voce magna ⁊ dixit
Bñdicta tu inter mulieres: ⁊ bñdictus Judi.5.d.
fructꝰ ventris tui. Et vnde
hoc mihi vt veniat mater domini
mei ad me? Ecce enĩ vt facta eſt vox E
ſalutationiȝ tue in auribꝰ meis: exulta
uit in gaudio infans in vtero
meo. Et beata que credidiſti: quoniaȝ
ꝑficientur ea que dicta ſunt tibi a
dño. Et ait maria. Magnificat aĩa
mea dominum. Et exultauit ſpiritus
meuȝ in deo ſalutari meo. Quia reſpe
xit humilitatem ancille ſue:
ecce enim ex hoc beatam me dicent
omnes generatiões. Qꝛ fecit mihi ma
gna q̄ potens eſt et ſctm̃ nomẽ eiꝰ. Et
mĩa eiꝰ a progenie in progenies timẽti
bus eum. Fecit potentiam in brachio
ſuo: diſperſit ſuperbos mente
cordis ſui. Depoſuit potentes de
ſede: et exaltauit humiles. Eſurientes
impleuit bonis: et diuites dimiſit
inanes. Suſcepit iſrael puerum

© Biblioteca Nacional de España

αὐτοῦ μνησθῆναι ἐλέους. καθὼς ἐλάλησε
πρὸς τοὺς πατέρας ἡμῶν τῷ ἀβραὰμ καὶ
τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα. ἔμεινε
δὲ μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς καὶ
ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. τῇ δὲ ἐλι=
σάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν,
καὶ ἐγέννησεν υἱόν. καὶ ἤκουσαν οἱ περίοι=
κοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε
κύριος τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς, καὶ συν=
έχαιρον αὐτῇ. καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡ=
μέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκά=
λουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐ=
τοῦ ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐ=
τοῦ εἶπεν. οὐχί. ἀλλὰ κληθήσεται ἰωάννης.
καὶ εἶπον πρὸς αὐτήν. ὅτι οὐδείς ἐστιν ἐν
τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι
τούτῳ. ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί
ἂν θέλοι καλεῖσθαι αὐτόν. καὶ αἰτήσας πι=
νακίδιον ἔγραψε λέγων. ἰωάννης ἐστὶ τὸ ὄ
νομα αὐτοῦ. καὶ ἐθαύμασαν πάντες. ἀνεῴ
χθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ
γλῶσσα αὐτοῦ διηρθρώθη, καὶ ἐλάλει εὐ=
λογῶν τὸν θεόν. καὶ ἐγένετο ἐπὶ πάντας φό
βος τοὺς περιοικοῦντας αὐτούς. καὶ ἐν ὅλῃ
τῇ ὀρεινῇ τῆς ἰουδαίας διελαλεῖτο πάντα
τὰ ῥήματα ταῦτα. καὶ ἔθεντο πάντες οἱ ἀ=
κούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν λέγοντες. τί
ἄρα τὸ παιδίον τοῦτο ἔσται. καὶ χεὶρ κυρί=
ου ἦν μετ᾽ αὐτοῦ. καὶ ζαχαρίας ὁ πατὴρ αὐ
τοῦ ἐπλήσθη πνεύματος ἁγίου, καὶ προ=
εφήτευσε λέγων. εὐλογητὸς κύριος ὁ θεὸς
τοῦ ἰσραὴλ ὅτι ἐπεσκέψατο καὶ ἐποίησε
λύτρωσιν τῷ λαῷ αὐτοῦ. καὶ ἤγειρε κέ=
ρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ δαυὶδ τοῦ
παιδὸς αὐτοῦ. καθὼς ἐλάλησε διὰ στό=
ματος τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνος προφη=
τῶν αὐτοῦ. σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ
ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς. ποιῆ
σαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνη
σθῆναι διαθήκης ἁγίας αὐτοῦ. ὅρκον ὃν ὤμο
σε πρὸς ἀβραὰμ τὸν πατέρα ἡμῶν τοῦ δοῦ
ναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡ=
μῶν ῥυσθέντας λατρεύειν αὐτῷ ἐν ὁσιότητι
καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς
ἡμέρας τῆς ζωῆς ἡμῶν. καὶ σὺ παιδίον
προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ
γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁ=
δοὺς αὐτοῦ. τοῦ δοῦναι γνῶσιν σωτηρίας
τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν
διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, ἐν οἷς
ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους. ἐπι=
φᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου κα=
θημένοις τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν

ſuuz mẽorari mie ſue. Sicut locutus eſt
ad patres noſtros abraam et
ſemini eius in ſecula. Manſit
ãt maria cum illa q̃ſi mẽſibus trib9 et
reuerſa eſt in domũ ſuã. Eliſabeth aũt
impletum eſt tempus pariendi
et peperit filium. Et audierunt vicini F
et cognati eius: quia magnificauit
dominus miam ſuã cuz illa: et cõgra
tulabantur ei. Et factũ eſt i die octauo
venerũt circuncidere puerũ: et vocabãt
eum nomine patris ſui
zachariam. Et reſpondens mater ei9
dixit. Nequaq̃: ſed vocabitur iohãnes:
τ dixerũt ad illam. Quia nemo eſt in
cognatiõe tua qui vocetur hoc nomie
Innuebant autem patri eius: quem
vellet vocari eum. Et poſtulãs pugilla
rem ſcripſit dicens: iohannes eſt nomẽ
eius. Et mirati ſunt vniuerſi. Aptũ ẽ
autem ilico os eius: et
lingua eius loquebatur benedicens
deum. Et factus eſt timor ſuper oĩs
vicinos eorum: et ſuper omnia
montana iudee diuulgabantur omnia
verba hec: et poſuerũt oẽs qui audierãt
in corde ſuo dicentes. Quis
putas puer iſte erit? Eteni manus dñi Hiere.i.b
erat cuz illo. Et zacharias pater eius Actuũ.ii.c
repletus eſt ſpiritu ſancto: τ pphetauit
dicens. Benedictus dñs deus G
iſrael: quia viſitauit et fecit
redẽptionẽ plebi ſue. Et erexit cornu
ſalutis nobis in domo dauid
pueri ſui. Sicut locutus eſt per os
ſanctorum qui a ſeculo ſunt prophetarũ
eius. Salutem ex inimicis noſtris et
de manu oĩz qui oderũt nos. Ad facien
dã miam cum patribus noſtris τ memo
rari teſtamẽti ſui ſcti. Juſiurãdũ qδ iura
uit ad abraam patrẽ noſtruz daturũ ſe
nobis. Ut ſine timore de manu iimicoꝝ
noſtroꝝ liberati: ſeruiam9 illi. In ſãcti
tate et iuſtitia coram ipſo omnibus
diebus noſtris. Et tu puer
ppheta altiſſimi vocaberis preibis Mat.ii.c.
eni ante faciem domini parare vias
eius. Ad dandam ſcientiam ſalutis
plebi eius: in remiſſionẽ peccatoꝝ eoꝝ.
Per viſcera miſericordie dei nři i q̃b9
viſitauit nos oriens ex alto. Jllumiare
his qui in tenebris τ vmbra mortis ſe
dẽt: ad dirigendos pedes noſtros

© Biblioteca Nacional de España

εις οδόν ειρήνης. το δε παιδίον ηύξα=
νε και εκραταιούτο πνεύματι, και ην εν ταις
ερήμοις έως ημέρας αναδείξεως αυτού
προς τον ισραήλ. Cap. 2.
Εγένετο δε εν ταις ημέραις εκείναις, εξήλ
θε δόγμα παρά καίσαρος αυγούστου
απογράφεσθαι πάσαν την οικουμένην. αύτη
η απογραφή πρώτη εγένετο ηγεμονεύοντος
της συρίας κυρηνίου. και επορεύοντο πάν=
τες απογράφεσθαι έκαστος εις την ιδίαν πό
λιν. ανέβη δε και ιωσήφ από της γαλιλαίας
εκ πόλεως ναζαρέτ εις την ιουδαίαν εις πό
λιν δαυίδ ήτις καλείται βηθλεέμ, διά το εί
ναι αυτόν εξ οίκου και πατριάς δαυίδ απο
γράψασθαι σύν μαριάμ τη μεμνηστευμένη
αυτώ γυναικί ούση εγκύω. εγένετο δε εν
τω είναι αυτούς εκεί, επλήσθησαν αι ημέ=
ραι του τεκείν αυτήν, και έτεκε τον υιόν αυ=
τής τον πρωτότοκον, και εσπαργάνωσεν αυ
τόν, και ανέκλινεν αυτόν εν τη φάτνη διότι
ουκ ην αυτοίς τόπος εν τω καταλύματι.
και ποιμένες ήσαν εν τη χώρα τη αυτή αγ=
ραυλούντες και φυλάσσοντες τας φυλακάς
της νυκτός επί την ποίμνην αυτών. και ι=
δού άγγελος κυρίου επέστη αυτοίς, και δό
ξα κυρίου περιέλαμψεν αυτούς, και εφοβή
θησαν φόβον μέγαν. και είπεν αυτοίς ο άγ=
γελος. μη φοβείσθε. ιδού γαρ ευαγγελίζο
μαι υμίν χαράν μεγάλην, ήτις έσται παντί
τω λαώ. ότι ετέχθη υμίν σήμερον σωτήρ,
ος εστι χριστός κύριος εν πόλει δαυίδ. και
τούτο υμίν το σημείον. ευρήσετε βρέφος
εσπαργανωμένον κείμενον εν φάτνη. και ε=
ξαίφνης εγένετο σύν τω αγγέλω πλήθος
στρατιάς ουρανίου αινούντων τον θεόν και
λεγόντων. δόξα εν υψίστοις θεώ, και επί
γης ειρήνη, εν ανθρώποις ευδοκία. και εγένε
το ως απήλθον απ αυτών εις τον ουρανόν
οι άγγελοι, και οι άνθρωποι οι ποιμένες εί
πον προς αλλήλους, διέλθωμεν δη έως
εις βηθλεέμ, και ίδωμεν το ρήμα τούτο το
γεγονός, ο ο κύριος εγνώρισεν ημίν. και ήλ
θον σπεύσαντες, και ανεύρον την τε μαριάμ
και τον ιωσήφ, και το βρέφος κείμενον εν
τη φάτνη. ιδόντες δε διεγνώρισαν περί του
ρήματος του λαληθέντος αυτοίς περί του
παιδίου τούτου. και πάντες οι ακούσαν=
τες εθαύμασαν περί των λαληθέντων υπό
των ποιμένων προς αυτούς. η δε μαριάμ
πάντα συνετήρει τα ρήματα ταύτα συμβά=
λλουσα εν τη καρδία αυτής. και υπέστρε=
ψαν οι ποιμένες δοξάζοντες και αινούντες
τον θεόν επί πάσιν οις ήκουσαν και είδον

in viam pacis. Puer autem creſce= 1.Reg.2.d.
bat et confortabat̃ ſpiritu: ⁊ erat in
deſertis vſq; in diem oſtenſionis ſue
ad iſrael. Cap. 2.
Factū eſt aūt in diebus illis: exijt A
edictum a ceſare auguſto vt
deſcriberet̃ vniuerſus orbis. Hec
deſcriptio prima facta eſt a preſide
ſyrie cyrino. Et ibant omnes vt
profiterentur: ſinguli in ſuaȝ ciuitateȝ.
Aſcendit autem et ioſeph a galilea
de ciuitate nazareth in iudeam in ciui
tatē dauid que vocat̃ bethleē: eo q̄ eſſet
de domo et familia dauid vt ꝓfiteretur
cum maria deſponſata
ſibi vxore pregnante. Factū eſt aūt cū Mat.2.b.
eſſent ibi: impleti ſunt dies vt
pareret: et peperit filium ſuum
primogenitū ⁊ pānis eum inuoluit:
et reclinauit eum in preſepio: quia
non erat eis locus in diuerſorio.
Et paſtores erāt in regione eadē vigi B
lantes et cuſtodientes vigilias
noctis ſuper gregem ſuum. Et ecce Actuū.12.a
angelus dñi ſtetit iuxta illos: ⁊ clari=
tas dei circūfulſit illos: et timuerunt Actuū.9.a
timore magno. Et dixit illis angelus.
Nolite timere. Ecce enim euangelizo Ephe.2.d.
vobis gaudiū magnum quod erit omī
populo: quia nat⁹ eſt vobis hodie ſal
uator q̄ eſt xp̄s dñs ī ciuitate dauid: ⁊
hoc vobis ſignuȝ. Inuenietis infātem
pānis iuolutū et poſitū ī p̄ſepio. Et ſu
bito facta eſt cum angelo multitudo
militie celeſtis laudantium deū et
dicētiū. Gloria in altiſſimis deo: et in
terra pax hoib⁹ bone volūtatiſ. Et fctm̄
eſt vt diſceſſerūt ab eis angeli in
celum: paſtores loquebantur
ad inuicem. Tranſeamus vſq;
bethleem: ⁊ videam⁹ hoc verbum
qđ factū ē qđ fecit dñs ⁊ oſ̄dit nobiſ. Et C
feſtinantes et inuenerūt mariā ⌊ venerūt
⁊ ioſeph: et infantem poſitum in
preſepio. Videntes aūt cognouerūt de
verbo quod dictum erat illis de
puero hoc. Et omnes qui audierant
mirati ſunt ⁊ de his que dicta erant a
paſtoribus ad ipſos. Maria autem
conſeruabat omnia verba hec cōferens
in corde ſuo. Et reuerſi ſunt
paſtores glorificantes ⁊ laudantes
deū in oibus que audierāt ⁊ viderant:

© Biblioteca Nacional de España

καθώς ελαλήθη προς αυτούς. και ότε επλή
σθησαν ημέραι οκτώ του περιτεμείν αυτόν,
και εκλήθη το όνομα αυτού ιησούς, το κλη
θέν υπό του αγγέλου προ του συλληφθή=
ναι αυτόν εν τη κοιλία. και ότε επλήσθησαν
αι ημέραι του καθαρισμού αυτής κατά τον
νόμον μωσέως, ανήγαγον αυτόν εις ιερο=
σόλυμα παραστήσαι τω κυρίω καθώς γέ=
γραπται εν νόμω κυρίου. ότι παν άρσεν
διανοίγον μήτραν, άγιον τω κυρίω κληθή=
σεται. και του δούναι θυσίαν κατά το ειρημέ
νον εν νόμω κυρίου, ζεύγος τρυγόνων η
δύο νεοσσούς περιστερών. και ιδού ην άν
θρωπος εν ιερουσαλήμ ω όνομα συμεών.
και ο άνθρωπος ούτος δίκαιος και ευλαβής
προσδεχόμενος παράκλησιν του ισραήλ.
και πνεύμα ην άγιον επ' αυτόν. και ην αυ
τώ κεχρηματισμένον υπό του πνεύματος
του αγίου μη ιδείν θάνατον, πριν η ίδη
τον χριστόν κυρίου. και ήλθεν εν τω πνεύ
ματι εις το ιερόν. και εν τω εισαγαγείν τους
γονείς το παιδίον ιησούν του ποιήσαι αυ
τούς κατά το ειθισμένον του νόμου περί αυ
τού, και αυτός εδέξατο αυτό εις τας αγκά=
λας αυτού, και ευλόγησε τον θεόν και είπε.
νυν απολύεις τον δούλον σου δέσποτα
κατά το ρήμα σου εν ειρήνη. ότι είδον οι οφ
θαλμοί μου το σωτήριον σου, ο ητοίμασας
κατά πρόσωπον πάντων των λαών. φως εις
αποκάλυψιν εθνών και δόξαν λαού σου
ισραήλ. και ην ιωσήφ και η μήτηρ αυτού
θαυμάζοντες επί τοις λαλουμένοις περί
αυτού. και ευλόγησεν αυτούς συμεών, και
είπε προς μαριάμ την μητέρα αυτού. ιδού
ούτος κείται εις πτώσιν και ανάστασιν πολ
λών εν τω ισραήλ, και εις σημείον αντιλεγό
μενον. και σου δε αυτής την ψυχήν διελεύ
σεται ρομφαία, όπως αν αποκαλυφθώσιν εκ
πολλών καρδιών διαλογισμοί. και ην άν=
να φροφήτις θυγάτηρ φανουήλ εκ φυλής α
σήρ, αύτη προβεβηκυία εν ημέραις πολλαίς
ζήσασα έτη μετά ανδρός επτά από της παρ
θενίας αυτής. και αυτή χήρα ως ετών ογ=
δοηκοντατεσσάρων, η ουκ αφίστατο από
του ιερού νηστείαις και δεήσεσι λατρεύου
σα νύκτα και ημέραν. και αύτη αυτή τη ώ=
ρα επιστάσα, ανθωμολογείτο τω κυρίω, και
ελάλει περί αυτού πάσι τοις προσδεχομέ
νοις λύτρωσιν εν ιερουσαλήμ. και ως ετέλε
σαν άπαντα τα κατά τον νόμον κυρίου, ύ=
πέστρεψαν εις την γαλιλαίαν. εις την πόλιν
εαυτών ναζαρέτ. το δε παιδίον ηύξανε και
εκραταιούτο πνεύματι, πληρούμενον σο=

ſicut dictū ē ad illos. Et poſtq̄ ↄſumma
ti ſūt dies octo vt circuncideretur puer: Gen. 17. d. Hiere. 4. a.
vocatū eſt nomē eius ieſus: qđ voca=
catū eſt ab angelo priuſq̄ in vtero con=
ciperetur. Et poſtq̄ impleti ſunt Leui. 12. a.
dies purgationis eius ſecundum D
legē moyſi: tulerunt illū in hieruſalē:
vt ſiſterent eum domino: ſicut ſcriptū ē
in lege domini. Quia omne maſculinū Exo. 34. c.
adaperiens vuluā ſctm̄ dño vocabitur.
Et vt darēt hoſtiā ſcd̄m qđ dictum eſt Leui. 5. b. & 12. c.
in lege dñi: par turturum aut
duos pullos colūbarū. Et ecce hō erat
in hieruſalem cui nomen ſymeon.
Et homo iſte iuſtus & timoratus
expectans conſolationem iſrael:
& ſpiritus ſanctus erat in eo. Et rñſū ac Actuū. 10. c.
ceperat a ſpiritu
ſancto: nō viſurū ſe mortē niſi prius vi
deret xp̄m domini. Et venit in ſpiritu
in templum. Et cum inducerent
puerū ieſum parentes eius: vt facerent
ſecundum conſuetudinem legis pro eo:
& ipſe accepit eum in vlnas
ſuas et benedixit deum & dixit.
Nunc dimittis ſeruum tuum domine E
ſcd̄m verbū tuū ī pace. Quia viderūt o
culi mei ſalutare tuum. Quod paraſti
ante faciē oīm populorum. Lumē ad
reuelationē gentiū et gloriā plebis tue
iſrael. Et erat ioſeph et mater eius
mirantes ſuper his que dicebantur de
illo. Et benedixit illis ſymeon: et
dixit ad mariam matrem eius. Ecce Zach. 14. c.
poſitus ē hic in ruinā & in reſurrectionē
multorum in iſrael: et in ſignum cui cō
tradicetur. Et tuā ipſius aīam pertrāſi h. Tuā ipſi⁹ .i. tui ipſius
bit gladius: vt reuelentur ex anna
multis cordibus cogitationes. Et erat
prophetiſſa filia phanuel de tribu aſer
hec proceſſerat in diebus multis et
vixerat cū viro ſuo ānis ſeptē a virgini=
tate ſua. Et hec vidua erat vſq ad ānos
octoginta quattuor: q̄ nō diſcedebat de
templo ieiunijs & obſecrationib⁹ ſeruiēs
nocte ac die. Et hec ipſa hora
ſuperueniens confitebatur domino et
loquebatur de illo omnibus qui expe
ctabant redemptionē iſrael. Et vt pfece
rūt omnia ſecundū legē dñi: reuerſi ſūt
in galileam in ciuitatem
ſuā nazareth. Puer autē creſcebat &
confortabatur ſpiritu: plenus ſapientia:

© Biblioteca Nacional de España

φίας. καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτόν. καὶ ἐπο
ρεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς ἱερου
σαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα. καὶ ὅτε ἐγένε-
το ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς ἱερο
σόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελει-
ωσάντων τὰς ἡμέρας ἐν τῷ ὑποστρέφειν αὐ
τούς, ὑπέμεινεν ἰησοῦς ὁ παῖς ἐν ἱερουσα-
λήμ, καὶ οὐκ ἔγνω ἰωσὴφ καὶ ἡ μήτηρ αὐ-
τοῦ. νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶ
ναι, ἦλθον ἡμέρας ὁδόν. καὶ ἀνεζήτουν αὐ-
τὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς.
καὶ μὴ εὑρόντες αὐτόν, ὑπέστρεψαν εἰς ἱε
ρουσαλὴμ ζητοῦντες αὐτόν. καὶ ἐγένετο μεθ'
ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθε
ζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκού
οντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. ἐξίσ-
ταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ
συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. καὶ ἰ-
δόντες αὐτὸν, ἐξεπλάγησαν. καὶ πρὸς αὐτὸν
ἡ μήτηρ αὐτοῦ εἶπε τέκνον. τί ἐποίησας ἡμῖν
οὕτως. ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμε
νοι ἐζητοῦμέν σε. καὶ εἶπε πρὸς αὐτούς. τί
ὅτι ἐζητεῖτέ με. οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ
πατρός μου δεῖ εἶναί με. καὶ αὐτοὶ οὐ συ
νῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. καὶ κατέ
βη μετ' αὐτῶν καὶ ἦλθεν εἰς ναζαρέτ, καὶ ἦν
ὑποτασσόμενος αὐτοῖς. καὶ ἡ μήτηρ αὐτοῦ
διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ
καρδίᾳ αὐτῆς. καὶ ἰησοῦς προέκοπτε σοφίᾳ
καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώ
ποις. Cap. 3.

Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμο-
νίας τιβερίου καίσαρος ἡγεμονεύοντος
ποντίου πιλάτου τῆς ἰουδαίας, καὶ τετραρ
χοῦντος τῆς γαλιλαίας ἡρώδου. φιλίππου
δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς
ἰτουραίας καὶ τραχωνίτιδος χώρας, καὶ
λυσανίου τῆς ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ
ἀρχιερέως ἄννα καὶ καϊάφα, ἐγένετο ῥῆμα
θεοῦ ἐπὶ ἰωάννην τὸν τοῦ ζαχαρίου υἱὸν ἐν
τῇ ἐρήμῳ, καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχω
ρον τοῦ ἰορδάνου κηρύσσων βάπτισμα με
τανοίας εἰς ἄφεσιν ἁμαρτιῶν ὡς γέγραπται
ἐν βίβλῳ λόγων ἠσαΐου τοῦ προφήτου λέ
γοντος. φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. ἑτοιμά
σατε τὴν ὁδὸν κυρίου εὐθείας ποιεῖτε τὰς
τρίβους αὐτοῦ. πᾶσα φάραγξ πληρωθήσε
ται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσε
ται. καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν, καὶ αἱ
τραχεῖαι εἰς ὁδοὺς λείας. καὶ ὄψεται πᾶσα
σὰρξ τὸ σωτήριον τοῦ θεοῦ. ἔλεγεν οὖν τοῖς
ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐ
τοῦ. γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν

et gratia dei erat in illo. Et ibant
parētes eiꝰ per omnes annos in hieru
ſalē̄ i die ſolēni paſche. Et cū factꝰ eēt [J.18.b.]
ānorū duodecī: aſcendētibꝰ illis in hie [Eſaie.27.d]
roſolymā ſcḋ cōſuetudinē diei feſti: cō [Actuū.3.a]
ſūmatiſq; diebus cum redirent:
remanſit puer ieſus in hieruſalem
et non cognouerūt parentes eius.
Exiſtimantes aūt illū eſſe in comitatu:
venerunt iter diei: et requirebant eum
inter cognatos et notos.
Et nō inuenientes regreſſi ſunt in hie-
ruſalem: requirētes eū. Et factū ē poſt
triduū inuenerunt illum in tēplo ſeden [B]
tem in medio doctorum: audientem
illos: et interrogantem eos. Stupebāt [Mat.7.g.]
autem omnes qui eum audiebant ſuper [Mar.1.d.]
prudentia et reſponſis eius. Et viden
tes āmirati ſunt. Et dixit mater eiꝰ ad
Fili quid feciſti nobis illum.
ſic? Ecce pater tuus et ego dolentes
querebamus te. Et ait ad illos. Quid
eſt qḋ me querebatis. Neſciebatis quia i
his q̄ pr̄is mei ſūt oportet me eſſe? Et
ipſi nō intellexerūt vbū qḋ locutꝰ ē ad
eos. Et dſcēdit cū eis: ꝛ vēit nazareth:
ſubditus illis. Et mater eiꝰ et erat
conſeruabat omnia verba hec in
corde ſuo. Et ieſus proficiebat ſapien- [1.Reg.2.c.]
tia ꝛ etate et gratia apud deum et ho-
mines. Cap. 3.

Anno aūt quintodecimo imperij [A]
tiberij ceſaris procurante
pontio pilato iudeam: tetrarcha autē
galilee herode: philippo
autem fratre eius tetrarcha
ituree et trachonitidis regionis: et
lyſania abiline tetrarcha: ſub
pricipibꝰ ſacerdotū āna ꝛ caypha factū
ē vbū dñi ſup iohānē zacharie filiū i
deſerto. Et venit in omnem regionem [Mat.3.a]
iordanis predicās baptiſmū penitentie [Mar.1.a. Johā.3.c.]
in remiſſionē peccatorū ſicut ſcriptū ē
in libro ſermonum eſaie prophete.
Vox clamantis in deſerto parate [Eſa.40.a]
viam domini: rectas facite [Mat.3.a.]
ſemitas eius. Omnis vallis implebitur [Mar.1.a. Johā.1.c.]
ꝛ omnis mons et collis humiliabitur. [B]
Et erunt praua in directa et
aſpera in vias planas: et videbit omnis
caro ſalutare dei. Dicebat ergo ad
turbas q̄ exibāt vt baptizarētur ab ipſo. [Mat.3.c.]
Genimina viperarū q̄s oſtendit vobis [ꝛ.17.d.]

© Biblioteca Nacional de España

φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς. ποιήσα
τε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ
ἄρξησθε λέγειν ἐν ἑαυτοῖς πατέρα ἔχομεν
τὸν ἀβραάμ. λέγω γὰρ ὑμῖν, ὅτι δύναται
ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα
τῷ ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥί
ζαν τῶν δένδρων κεῖται. πᾶν οὖν δένδρον
μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς
πῦρ βάλλεται. καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχ-
λοι λέγοντες, τί οὖν ποιήσομεν. ἀποκριθεὶς
δὲ λέγει αὐτοῖς. ὁ ἔχων δύο χιτῶνας μετα
δότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁ
μοίως ποιείτω. ἦλθον δὲ καὶ τελῶναι βαπτισ
θῆναι, καὶ εἶπον πρὸς αὐτόν. διδάσκαλε τί
ποιήσομεν. ὁ δὲ εἶπε πρὸς αὐτούς. μηδὲν
πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσε
τε. ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι
λέγοντες. καὶ ἡμεῖς τί ποιήσομεν. καὶ εἶπε
πρὸς αὐτούς. μηδένα διασείσητε, μηδὲ συ
κοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑ-
μῶν. προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ δια-
λογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν
περὶ τοῦ ἰωάννου μήποτε αὐτὸς εἴη ὁ χρι
στός, ἀπεκρίνατο ὁ ἰωάννης ἅπασι λέγων. ἐ
γὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς, ἔρχεται δὲ ὁ
ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦ-
σαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ, αὐ
τὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυ
ρί. οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ δια-
καθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν
σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυ-
ρον κατακαύσει πυρὶ ἀσβέστῳ. πολλὰ μὲν
οὖν καὶ ἕτερα παρακαλῶν, εὐηγγελίζετο
τὸν λαόν. ὁ δὲ ἡρώδης ὁ τετράρχης, ἐλεγ-
χόμενος ὑπ᾽ αὐτοῦ περὶ ἡρωδιάδος τῆς γυ
ναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ φιλίππου καὶ
περὶ πάντων ὧν ἐποίησε πονηρῶν ὁ ἡρώ-
δης, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, καὶ κατέ
κλεισε τὸν ἰωάννην ἐν τῇ φυλακῇ. ἐγένετο
δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαόν,
καὶ ἰησοῦ βαπτισθέντος καὶ προσευχομέ-
νου, ἀνεῳχθῆναι τὸν οὐρανόν, καὶ καταβῆ-
ναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡ-
σεὶ περιστερὰν ἐπ᾽ αὐτόν, καὶ φωνὴν ἐξ
οὐρανοῦ γενέσθαι λέγουσαν. σὺ εἶ ὁ υἱ-
ός μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα. καὶ
αὐτὸς ἦν ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος
ὢν ὡς ἐνομίζετο υἱὸς ἰωσήφ. τοῦ ἠλί, τοῦ
ματθάτ, τοῦ λευΐ, τοῦ μελχί, τοῦ ἰαννά.
τοῦ ἰωσήφ, τοῦ ματταθίου, τοῦ ἀμώς, τοῦ
ναούμ, τοῦ ἐσλί, τοῦ ναγγαί, τοῦ μαάθ, τοῦ
ματταθίου, τοῦ σεμεΐ, τοῦ ἰωσήφ, τοῦ ἰού
δα, τοῦ ἰωανάν, τοῦ ῥησά, τοῦ ζοροβά-

fugere a ventura ira. Facite
ergo fructus dignos penitentie: et ne
ceperitis dicere patrem habemus
abraam. Dico enim vobis quia potens eſt
deus de lapidibus iſtis ſuſcitare filios
abrae. Jam enim ſecuris ad radicem — D. abrae davitui caſus. Mat.3.d.& 7.d.
arborum poſita eſt. Omnis ergo arbor
non faciens fructum bonum excidetur: et in
ignem mittet. Et interrogabant eum tur
be dicentes. Quid ergo faciemus. Reſpondens
autem dicebat illis. Qui habet duas tunicas
det non habenti: et qui habet eſcas ſimiliter
faciat. Venerunt autem et publicani ut baptiza
rentur: et dixerunt ad illum. Magiſter quid
faciemus? At ille dixit ad eos. Nihil
amplius quam quod conſtitutum eſt vobis facia
tis. Interrogabant autem eum et milites
dicentes. Quid faciemus et nos? Et ait
illis. Neminem concutiatis: neque calumniam fa
ciatis: et contenti eſtote ſtipendiis veſtris.
Exiſtimante autem populo et cogitantibus — C
omnibus in cordibus ſuis
de iohanne ne forte ipſe eſſet chriſtus:
reſpondit iohannes dicens omnibus. Ego — Mat.3.c.
quidem aqua baptizo vos: veniet autem — Mar.1.b.
fortior me cuius non ſum dignus ſoluere — Joha.1.d.
corrigiam calciamentorum eius: ipſe
vos baptizabit in ſpiritu ſancto et igni.
Cuius ventilabrum in manu eius: et pur — Mat.3.c
gabit aream ſuam: et congregabit
triticum in horreum ſuum: paleas autem
comburet igni inextinguibili. Multa qui
dem et alia exhortans euangelizabat
populo. Herodes autem tetrarcha cum cor — Mat.14.a.
riperetur ab illo de herodiade uxore — Mar.6.c.
fratris ſui philippi: et
de omnibus malis que fecit herodes
adiecit et hoc ſuper omnia et incluſit
iohannem in carcerem. Factum eſt — Mat.3.f.
autem cum baptizaretur omnis popu — Mar.1.b.
lus et ieſu baptizato et orante: — Joha.1.c.
apertum eſt celum et deſcendit
ſpiritus ſanctus corporali ſpecie ſicut
columba in ipſum: et vox de
celo facta eſt. Tu es filius — Eſaie.42.a
meus dilectus: in te complacuit mihi. Et — Mat.3.g.
ipſe ieſus erat incipiens quaſi annorum triginta — Marci.1.b.
ut putabatur filius ioſeph: qui fuit heli: qui fuit — D
mathat: qui fuit leui: qui fuit melchi: qui fuit ia
ne: qui fuit ioſeph: qui fuit mathathie: qui
fuit amos: qui fuit naum: qui fuit heſli:
qui fuit nage: qui fuit maath: qui fuit ma
thathie: qui fuit ſemei: qui fuit ioſeph: qui fuit
iuda: qui fuit iohana: qui fuit reſa: qui fuit Zo-

Z

© Biblioteca Nacional de España

βελ, τοῦ σαλαθιήλ, τοῦ νηρί, τοῦ μελχί,
τοῦ ἀδδί, τοῦ κωσάμ, τοῦ ἐλμωδάμ, τοῦ
ἤρ, τοῦ ἰωσή, τοῦ ἐλιέζερ, τοῦ ἰωρείμ, τοῦ
ματθάτ, τοῦ λευί, τοῦ συμεών, τοῦ ἰού=
δα, τοῦ ἰωσήφ, τοῦ ἰωνάν, τοῦ ἐλιακείμ,
τοῦ μελεά, τοῦ μαϊνάν, τοῦ ματταθά, τοῦ
ναθάν, τοῦ δαυίδ, τοῦ ἰεσσαί, τοῦ ὠβήδ,
τοῦ βοόζ, τοῦ σαλμών, τοῦ ναασσών, τοῦ
ἀμιναδάβ, τοῦ ἀράμ, τοῦ ἐσρώμ, τοῦ φα
ρές, τοῦ ἰούδα, τοῦ ἰακώβ, τοῦ ἰσαάκ, τοῦ
ἀβραάμ, τοῦ θάρρα, τοῦ ναχώρ, τοῦ σε=
ρούχ, τοῦ ῥαγαῦ, τοῦ φαλέκ, τοῦ ἔβερ,
τοῦ σαλά, τοῦ καϊνάν, τοῦ ἀρφαξάδ, τοῦ
σήμ, τοῦ νῶε, τοῦ λάμεχ, τοῦ μαθουσά=
λα, τοῦ ἐνώχ, τοῦ ἰάρεδ, τοῦ μαλελεήλ,
τοῦ καϊνάν, τοῦ ἐνώς, τοῦ σήθ, τοῦ ἀδάμ,
τοῦ θεοῦ.

Cap. 4.

Ἰησοῦς δὲ πλήρης πνεύματος ἁγίου ὑ=
πέστρεψεν ἀπὸ τοῦ ἰορδάνου, καὶ ἤγε
το ἐν τῷ πνεύματι εἰς τὴν ἔρημον ἡμέρας
τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ δια=
βόλου. καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις
ἐκείναις, καὶ συντελεσθεισῶν αὐτῶν ὕστε=
ρον ἐπείνασε. καὶ εἶπεν αὐτῷ ὁ διάβολος. εἰ
υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα
γένηται ἄρτος. καὶ ἀπεκρίθη ἰησοῦς πρὸς
αὐτὸν λέγων. γέγραπται. ὅτι οὐκ ἐπ᾽ ἄρτῳ
μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥή
ματι θεοῦ. καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβο=
λος εἰς ὄρος ὑψηλόν, ἔδειξεν αὐτῷ πάσας
τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρό
νου, καὶ εἶπεν αὐτῷ ὁ διάβολος. σοὶ δώσω
τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν
αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέ
λω δίδωμι αὐτήν. σὺ οὖν ἐὰν προσκυνήσῃς
ἐνώπιον ἐμοῦ, ἔσται σου πᾶσα. καὶ ἀποκρι
θεὶς αὐτῷ εἶπεν ὁ ἰησοῦς. ὕπαγε ὀπίσω μου
σατανᾶ. γέγραπται. προσκυνήσεις κύριον
τὸν θεόν σου, καὶ αὐτῷ μόνῳ λατρεύσεις.
καὶ ἤγαγεν αὐτὸν εἰς ἱερουσαλήμ, καὶ ἔστη
σεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶ
πεν αὐτῷ. εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν
ἐντεῦθεν κάτω. γέγραπται γάρ. ὅτι τοῖς ἀγ
γέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ δια=
φυλάξαι σε, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήπο
τε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. καὶ
ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ ἰησοῦς. ὅτι εἴρηται
οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. καὶ
συντελέσας πάντα πειρασμὸν ὁ διάβολος,
ἀπέστη ἀπ᾽ αὐτοῦ ἄχρι καιροῦ. καὶ ὑπέσ
τρεψεν ὁ ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύμα
τος εἰς τὴν γαλιλαίαν καὶ φήμη ἐξῆλθε καθ᾽ ὅ

robabel: q̃ fuit ſalathiel: q̃ fuit neri: qui fuit
melchi: q̃ fuit addi: q̃ fuit coſan: q̃ fuit
helmadã: q̃ fuit her: q̃ fuit ieſu: q̃ fuit he=
liezer: q̃ fuit iorĩ: q̃ fuit mathat: q̃ fuit leui
q̃ fuit ſymeõ: q̃ fuit iuda: q̃ fuit ioſeph: q̃ fu
it iona: q̃ fuit heliachĩ: q̃ fuit melcha: q̃ fu
it mẽna: q̃ fuit mathatha: q̃ fuit nathã: q̃
fuit dauid: q̃ fuit ieſſe: q̃ fuit obeth: q̃ fuit
booz: q̃ fuit ſalmon: q̃ fuit naaſon: q̃ fuit
aminadab: q̃ fuit aram: q̃ fuit eſrom: q̃ fu
it phares: q̃ fuit iude: q̃ fuit iacob: q̃ fuit y
ſaac: q̃ fuit abrae: q̃ fuit thare: qui fuit na=
chor: q̃ fuit ſaruch: q̃ fuit ragau: q̃ fuit pha
lech: q̃ fuit heber: q̃ fuit ſale: q̃ fuit caynan
q̃ fuit arphaxat: q̃ fuit ſem: q̃ fuit noe: q̃ fu
it lamech: q̃ fuit mathuſale: q̃ fuit enoch:
q̃ fuit iareth: q̃ fuit malalehel: q̃ fuit cainã
q̃ fuit enos: q̃ fuit: ſeth: q̃ fuit adã: q̃ fuit dei.

Ieſus aũt plen⁹ ſpũ ſancto Cap. 4.
regreſſ⁹ eſt a iordane: et agebatur A
in ſpiritu in deſerto diebus Mat. 4. a. Mar. 1. b.
quadragita et temptabatur a diabolo. Mat. 4. a.
Et nihil manducauit in diebus Exo. 34. d.
illis: et conſummatis illis poſtea
eſuriit. Dixit aũt illi diabolus. Si
filius dei es: dic lapidi huic vt
panis fiat. Et reſpondit ad
illũ ieſus. Scriptũ eſt quia nõ in pane Deut. 8. a.
ſolo viuet homo: ſed in omni verbo
dei. Et duxit illum diabolus
in montẽ excelſum: et oſtendit illi oĩa
regna orbis terre in momẽto temporis:
et ait illi. Tibi dabo
poteſtatem hanc vniuerſam ⁊ gloriam
illorũ: q̃ mihi tradita ſunt: et cui volo
do illa. Tu ergo procidẽs ſi adoraueris
coram me: erunt tua omnia. Et rñdẽs
ieſus dixit illi. B
Scriptum eſt. Dominum Deut. 6. b.
deum tuũ adorabis: ⁊ illi ſoli ſerui es. ⁊ 10. d. Apoca. 15. c.
Et duxit illũ in hieruſalem: ⁊ ſtatuit Mat. 4. c. Mar. 1. b.
eum ſuper pinnam templi: ⁊ dixit
illi. Si filius dei es: mitte te Mat. 4. b.
hinc deorſum. Scriptũ eſt eñi qꝛ ange Pſal. 90.
lis ſuis mandabit de te vt conſeruent
te: et quia in manib⁹ tollẽt te: ne forte
offendas ad lapidem pedem tuum. Et
reſpondens ieſus ait illi. Dictum eſt.
Non temptabis dominũ deũ tuũ. Et Deut. 6. c.
conſummata omni temptatiõe: diabol⁹
receſſit ab illo vſq; ad tempus. Et Mat. 4. b
egreſſus eſt ieſus in virtute ſpiritus marci. 3. b. Johã. 6. a.
in galileã: et fama exiit per vniuerſam

© Biblioteca Nacional de España

λης/ τῆς περιχώρου περί αυτοῦ. καὶ αὐτὸς ε
δίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν δοξαζό
μενος ὑπὸ πάντων. καὶ ἦλθεν εἰς τὴν ναζα=
ρέτ οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθε κατὰ τὸ
εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων
εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶ=
ναι. καὶ ἐπεδόθη αὐτῷ βιβλίον ἠσαΐου τοῦ
προφήτου. καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε
τὸν τόπον οὗ ἦν γεγραμμένον. πνεῦμα κυ
ρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελί
σασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι
τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύ=
ξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνά
βλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέ=
σει, κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν. καὶ πτύ
ξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθι=
σε. καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλ=
μοὶ ἦσαν ἀτενίζοντες αὐτῷ. ἤρξατο δὲ λέ=
γειν πρὸς αὐτούς, ὅτι σήμερον πεπλήρω=
ται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. καὶ
πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐ
πὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομέ
νοις ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἔλεγον.
οὐχ οὗτός ἐστιν ὁ υἱὸς ἰωσήφ. καὶ εἶπε
πρὸς αὐτούς. πάντως ἐρεῖτέ μοι τὴν παρα
βολὴν ταύτην. ἰατρὲ θεράπευσον σεαυτόν.
ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ καπερναοὺμ
ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου. εἶπε
δέ. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης
δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. ἐπ᾽ ἀλη
θείας λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς
ἡμέραις ἠλιοῦ ἐν τῷ ἰσραήλ, ὅτε ἐκλεί=
σθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ,
ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν
γῆν, καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη
ἠλίας εἰ μὴ εἰς σάρεπτα τῆς σιδῶνος πρὸς
γυναῖκα χήραν. καὶ πολλοὶ λεπροὶ ἦσαν ἐ
πὶ ἐλισσαίου τοῦ προφήτου ἐν τῷ ἰσρα=
ήλ, καὶ οὐδεὶς ἐξ αὐτῶν ἐκαθαρίσθη, εἰ μὴ
νεεμὰν ὁ σύρος. καὶ ἐπλήσθησαν πάντες θυ
μοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα. καὶ
ἀναστάντες, ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλε
ως, καὶ ἤγαγον αὐτὸν ἕως ὀφρύος τοῦ ὄ
ρους ἐφ᾽ οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο εἰς
τὸ κατακρημνίσαι αὐτόν. αὐτὸς δὲ διελ=
θὼν διὰ μέσου αὐτῶν ἐπορεύετο. καὶ κα=
τῆλθεν εἰς καπερναοὺμ πόλιν τῆς γα=
λιλαίας, καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς
σάββασι. καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδα=
χῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐ=
τοῦ. καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων
πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκρα=
ξε φωνῇ μεγάλῃ λέγων. ἔα, τί ἡμῖν καὶ σοί

regionem de illo. Et ipſe docebat C
in ſynagogis eorum: et magnificabatur
ab omnibus. Et venit nazareth Mat.13.g.
vbi erat nutritus: et intrauit ſecundū
conſuetudinem ſuam die ſabbati
in ſynagogam: et ſurrexit legere.
Et traditus eſt illi liber eſaie
prophete. Et vt reuoluit librū: inuenit
locum vbi ſcriptū erat. Spiritus dñi Eſa.61.a
ſup me: propter quod vnxit me: euan=
gelizare pauperibus miſit me: ſanare
contritos corde: predicare
captiuis remiſſionem: et cecis viſum
dimittere confractos in remiſſionem:
predicare annū dñi acceptū: & diē retribu
tionis. Et cū plicuiſſet librū reddidit mi
Et oīm in ſynagoga oculi [niſtro & ſedit.
erant intendentes i eū. Cepit aūt dice
re ad illos: quia hodie impleta eſt D
hec ſcriptura in auribus veſtris. Et Mat.13.g marci.6.a.
oēs teſtimoniū illi dabāt: et mirabātur i Johā.4.f.
verbis gratie que procedebant
de ore ipſius: et dicebant.
Nōne hic eſt filius ioſeph? Et ait Mat.13.g.
illis. Utiqʒ dicetis mihi hāc ſimilitudinē. marci.6.a. Johā.6.c.
Medice cura teipſum.
Quanta audiuimꝰ facta in capharnaū
fac & hic in patria tua. Ait Mat.13.g.
aūt. Amē dico vob: qꝛ nemo ꝓpheta marci.6.a. Johā.4.f.
acceptus eſt in patria ſua. In verita= 3.Reg.17.b
te dico vobis multe vidue erant in Jaco.5.d.
diebus helie in iſrael quando clauſū ē
celum annis tribus & menſibus ſex:
cum facta eſſet fames magna in omni
terra: et ad nullā illarum miſſus eſt
helias: niſi in ſarepta ſidonie ad
mulierē viduam. Et multi leproſi erāt 4.Reg.5.a
in iſrael ſub heliſeo propheta:
et nemo eorum mundatus eſt niſi
naamā ſyrus. Et repleti ſunt omnes E
in ſynagoga ira hec audientes. Et
ſurrexerūt et eiecerūt illum extra ciuita
tem: et duxerūt illū vſqʒ ad ſupciliū mō
tis: ſup quē ciuitas illoꝝ erat edificata:
precipitarēt eū. Ipſe aūt tranſiens [vt Johā.10.g
per medium illorū ibat. Et deſcendit Mar.1.d
in capharnaum ciuitatem galilee:
ibiqʒ docebat illos
ſabbatis. Et ſtupebant in doctrina ſup.2.g.
eius: quia in poteſtate erat ſermo ipiꝰ Mat.7.g. Mar.1.d.&
Et in ſynagoga erat homo habens 7.g.
demonium imundum: & exclamauit mar.1.d.
voce magꝰ dicēs. Sine: qd nobis & tibi

© Biblioteca Nacional de España

ιησού ναζαρηνέ. ήλθες απολέσαι ημάς. οί=
δα σε τις ει, ο άγιος του θεού. και επετίμη=
σεν αυτώ ο ιησούς λέγων. φιμώθητι και έ=
ξελθε εξ αυτού. και ρίψαν αυτόν το δαι=
μόνιον εις μέσον, εξήλθεν απ αυτού μηδέν
βλάψαν αυτόν. και εγένετο θάμβος επί
πάντας, και συνελάλουν προς αλλήλους
λέγοντες. τις ο λόγος ούτος, ότι εν εξου=
σία και δυνάμει επιτάσσει τοις ακαθάρτοις
πνεύμασι, και εξέρχονται. και εξεπορεύετο ή
χος περί αυτού εις πάντα τόπον της περι
χώρου. αναστάς δε εκ της συναγωγής ει=
σήλθεν εις την οικίαν σίμωνος. πενθερά δε
του σίμωνος ην συνεχομένη πυρετώ μεγά
λω, και ηρώτησαν αυτόν περί αυτής. και ε
πιστάς επάνω αυτής, επετίμησε τω πυρε=
τώ, και αφήκεν αυτήν. παραχρήμα δε ά=
ναστάσα διηκόνει αυτοίς. δύνοντος δε του
ηλίου, πάντες όσοι είχον ασθενούντας νό=
σοις ποικίλαις, ήγαγον αυτούς προς αυ=
τόν, ο δε ενί εκάστω αυτών τας χείρας επι
θείς, εθεράπευσεν αυτούς. εξήρχετο δε και
δαιμόνια από πολλών κράζοντα και λέ=
γοντα. ότι συ ει ο χριστός ο υιός του θεού.
και επιτιμών ουκ εία αυτά λαλείν, ότι ή=
δεισαν τον χριστόν αυτόν είναι. γενομένης
δε ημέρας, εξελθών επορεύθη εις έρημον
τόπον, και οι όχλοι εζήτουν αυτόν, και ήλ=
θον έως αυτού, και κατείχον αυτόν του μη
πορεύεσθαι απ αυτών. ο δε είπε προς αυ
τούς. ότι και ταις ετέραις πόλεσιν ευαγγε=
λίσασθαι με δει την βασιλείαν του θεού, ό
τι εις τούτο απέσταλμαι. και ην κηρύσσων
εν ταις συναγωγαίς της γαλιλαίας. Cap. 5.

Εγένετο δε εν τω τον όχλον επικείσθαι
Conuocatis aūt ieſ duodecī aplis dedit illis virtutem et poteſtatem ſuper omnia demonia et vt languores curarent. Mat. 10. a. Mar. 6. b. Et miſit illos predicare regnum dei: et ſanare infirmos. Et ait ad illos. Nihil tuleritis in viam: neq̄ virgam neq̄ peram neq̄ panē neq̄ pecuniam: neq̄ duas tunicas hēatis. Mat. 10. a. Mar. 3. c. Mat. 10. b. Mar. 6. b. Et in quācūq̄ domū itraueritis ibi manete et inde ne exeatis. Et quicūq̄ nō receperint vos: exeuntes de ciuitate illa etiam puluerem pedum veſtrorum excutite in teſtimoniū ſupra illos. Mat. 10. c. Mar. 6. d. Actu. 13. b Mar. 6. b Egreſſi autem circuibant per caſtella euangelizantes et curantes vbiq̄. Mat. 14. a. Mar. 6. b. Audiuit aūt herodes tetrarcha omnia que fiebant ab eo: et heſitabat eo q̄ diceret a quibuſdā: q̄ iohānes ſurrexit a mortuis: a quibuſdā vo q̄ helias apparuit: ab alijs Mat. 14. a. Mar. 6. c.

© Biblioteca Nacional de España

ὅτι προφήτης εἷς τῶν ἀρχαίων ἀνέστη.
καὶ εἶπεν ἡρώδης. ἰωάννην ἐγὼ ἀπεκε-
φάλισα. τίς δέ ἐστιν οὗτος περὶ οὗ ἐγὼ
ἀκούω τοιαῦτα. καὶ ἐζήτει ἰδεῖν αὐτόν. καὶ
ὑποστρέψαντες οἱ ἀπόστολοι, διηγήσαν-
το αὐτῷ ὅσα ἐποίησαν. καὶ παραλαβὼν αὐ-
τούς, ὑπεχώρησε κατιδίαν εἰς τόπον ἔρη-
μον πόλεως καλουμένης βηθσαϊδά. οἱ δὲ
ὄχλοι γνόντες ἠκολούθησαν αὐτῷ. καὶ δε-
ξάμενος αὐτούς, ἐλάλει αὐτοῖς περὶ τῆς
βασιλείας τοῦ θεοῦ, καὶ τοὺς χρείαν ἔχον-
τας θεραπείας ἰᾶτο. ἡ δὲ ἡμέρα ἤρξατο κλί-
νειν. προσελθόντες δὲ οἱ δώδεκα, εἶπον αὐ-
τῷ. ἀπόλυσον τὸν ὄχλον, ἵνα ἀπελθόντες
εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγρούς κα-
ταλύσωσι, καὶ εὕρωσιν ἐπισιτισμόν, ὅτι ὧ-
δε ἐν ἐρήμῳ τόπῳ ἐσμέν. εἶπε δὲ πρὸς αὐ-
τούς. δότε αὐτοῖς ὑμεῖς φαγεῖν. οἱ δὲ εἶπον
οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ
ἰχθύες δύο. εἰ μήτι πορευθέντες ἡμεῖς ἀγο-
ράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώ-
ματα. ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλι-
οι. εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ. κα-
τακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα.
καὶ ἐποίησαν οὕτως. καὶ ἀνέκλιναν ἅπαν-
τας. λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς
δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐ-
λόγησεν αὐτούς, καὶ κατέκλασε. καὶ ἐδί-
δου τοῖς μαθηταῖς παρατιθέναι τῷ ὄχλῳ.
καὶ ἔφαγον καὶ ἐχορτάσθησαν πάντες. καὶ
ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων
κόφινοι δώδεκα. καὶ ἐγένετο ἐν τῷ εἶναι αὐ-
τὸν προσευχόμενον καταμόνας, συνῆσαν
αὐτῷ οἱ μαθηταί, καὶ ἐπηρώτησεν αὐτούς
λέγων. τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι.
οἱ δὲ ἀποκριθέντες εἶπον. ἰωάννην τὸν βαπ-
τιστήν. ἄλλοι δὲ ἠλίαν. ἄλλοι δὲ ὅτι προ-
φήτης τις τῶν ἀρχαίων ἀνέστη. εἶπε δὲ αὐ-
τοῖς. ὑμεῖς δὲ τίνα με λέγετε εἶναι. ἀποκρι-
θεὶς δὲ πέτρος εἶπε. τὸν χριστὸν τοῦ θεοῦ.
ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε μηδε-
νὶ εἰπεῖν τοῦτο. εἰπὼν ὅτι δεῖ τὸν υἱὸν τοῦ
ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασ-
θῆναι ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων
καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ
τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. ἔλεγε δὲ πρὸς πάν-
τας. εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνη-
σάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐ-
τοῦ, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἐὰν θέλῃ
τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν.
ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν
ἐμοῦ, οὗτος σώσει αὐτήν. τί γὰρ ὠφε-

quia propheta vnus de antiquis ſurrexit. B
Et ait herodes. Johannem ego decollaui. Marci.6.c.
Quis eſt autem iſte de quo ego
talia audio? Et querebat videre eum. Et Mar.6.d.
reuerſi apoſtoli narrauerunt
illi quecunque fecerunt. Et aſſumptis illis Mat.14.c. Johã.6.a.
ſeceſſit ſeorſum in locum deſertum qui eſt
betſaide. Quod cum
cognouiſſent turbe ſecute ſunt illum: et
eos: et loquebatur illis de excepit
regno dei: et eos qui cura indigebant
ſanabat. Dies autem cepat declinare. Mat.14.c. Marci.6.c. Johã.6.a.
Et accedentes duodecim dixerunt illi.
Dimitte turbas: vt euntes
in caſtella villaſque que circa ſunt diuertant
et inueniant eſcas: quia hic
in loco deſerto ſumus. Ait autem ad illos.
Vos date illis manducare. At illi dixe- Mat.14.c. Mar.6.c.
runt. Non ſunt nobis pluſquam quinque panes et Mat.14.d.
duo piſces: niſi forte nos eamus et ema- Marci.6.c. Johã.6.a.
mus in omnem hanc turbam eſcas.
Erant autem fere viri quinque milia.
Ait autem ad diſcipulos ſuos. Facite
illos diſcumbere per conuiuia quinquage-
nos: et ita fecerunt. Et diſcubuerunt omnes. Mat.14.d. Mar.6.f. Johã.6.b.
Acceptis autem quinque panibus et
duobus piſcibus: reſpexit in celum et benedi-
xit illis: et fregit et diſtribuit
diſcipulis ſuis vt ponerent ante turbas.
Et manducauerunt omnes et ſaturati ſunt. Et
ſublatum eſt quod ſuperfuit illis fragmentorum C
cophini duodecim. Et factum eſt cum ſolus eſſet Mat.16.c. Mar.8.c.
orans: erant cum
illo et diſcipuli: et interrogauit illos
dicens. Quem me dicunt eſſe turbe?
At illi reſponderunt et dixerunt. Johannem ba-
ptiſtam: alij autem heliam: alij vero quia
vnus propheta de prioribus ſurrexit. Dixit
autem illis. Vos autem quem me eſſe dicitis?
ſimon petrus dixit. Chriſtum dei. Reſpondens
At ille increpans illos precepit ne cui Mat.16.c. Mar.8.c.
dicerent hoc: dicens quia oportet filium Mat.16.c.
hominis multa pati et reprobari Marci.8.f.
a ſenioribus et principibus ſacerdotum
et ſcribis: et occidi: et
tertia die reſurgere. Dicebat autem ad omnes. Mat.16.f.
Si quis vult poſt me venire: abneget Mar.8.g. J.14.f.
ſemetipſum et tollat crucem ſuam quoti-
die et ſequatur me. Qui enim voluerit
animam ſuam ſaluam facere perdet illam.
Nam qui perdiderit animam ſuam propter
me: ſaluam faciet illam. Quid enim proficit

© Biblioteca Nacional de España

λεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅ=
λον, ἑαυτὸν δὲ ἀπολέσας ἢ ζημιωθείς. ὃς
γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς
λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐ=
παισχυνθήσεται ὅταν ἔλθῃ ἐν τῇ δόξῃ
αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τῶν ἁγίων ἀγ=
γέλων. λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινὲς
τῶν ὧδε ἑστώτων, οἳ οὐ μὴ γεύσονται θανά
του ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ.
ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡ=
σεὶ ἡμέραι ὀκτώ, καὶ παραλαβὼν πέτρον καὶ
ἰωάννην καὶ ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος προ
σεύξασθαι. καὶ ἐγένετο ἐν τῷ προσεύχεσ=
θαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ
ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξα=
στράπτων. καὶ ἰδοὺ ἄνδρες δύο συνελά=
λουν αὐτῷ οἵτινες ἦσαν μωσῆς καὶ ἠλί=
ας, οἱ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον
αὐτοῦ ἣν ἔμελλε πληροῦν ἐν ἱερουσαλήμ.
ὁ δὲ πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρη
μένοι ὕπνῳ. διαγρηγορήσαντες δὲ, εἶδον
τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας
τοὺς συνεστῶτας αὐτῷ, καὶ ἐγένετο ἐν τῷ
διαχωρίζεσθαι αὐτοὺς ἀπ᾽ αὐτοῦ, εἶπεν ὁ
πέτρος πρὸς τὸν ἰησοῦν. ἐπιστάτα. καλὸν
ἐστὶν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν σκη=
νὰς τρεῖς, μίαν σοὶ, καὶ μίαν μωσεῖ, καὶ μί=
αν ἠλίᾳ. μὴ εἰδὼς ὃ λέγει. ταῦτα δὲ αὐ=
τοῦ λέγοντος ἐγένετο νεφέλη καὶ ἐπεσκία=
σεν αὐτούς, ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους
εἰσελθεῖν εἰς τὴν νεφέλην. καὶ φωνὴ ἐγένε=
το ἐκ τῆς νεφέλης λέγουσα. οὗτος ἐστὶν ὁ
υἱός μου ὁ ἀγαπητός αὐτοῦ ἀκούετε.
καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ ἰη
σοῦς μόνος, καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδε=
νὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐ=
δὲν ὧν ἑωράκασι. ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέ
ρᾳ κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συ
νήντησεν αὐτῷ ὄχλος πολύς. καὶ ἰδοὺ ἀ=
νὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε λέγων. διδά
σκαλε, δέομαί σου ἐπίβλεψαι ἐπὶ τὸν υἱὸν
μου, ὅτι μονογενής ἐστί μοι. καὶ ἰδοὺ
πνεῦμα λαμβάνει αὐτόν, καὶ ἐξαίφνης
κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ.
καὶ μόγις ἀποχωρεῖ ἀπ᾽ αὐτοῦ συντρίβον
αὐτόν. καὶ ἐδεήθην τῶν μαθητῶν σου ἵ=
να ἐκβάλωσιν αὐτό, καὶ οὐκ ἠδυνήθησαν.
ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν. ὦ γενεὰ
ἄπιστος καὶ διεστραμμένη, ἕως πότε
ἔσομαι πρὸς ὑμᾶς, καὶ ἀνέξομαι ὑμῶν.
προσάγαγε τὸν υἱόν σου ὧδε. ἔτι δὲ προσ=
ερχομένου αὐτοῦ, ἔρρηξεν αὐτὸν τὸ δαι=
μόνιον καὶ συνεσπάραξεν. ἐπετίμησε δὲ ὁ ἰη

homo ſi lucretur vniuerſum mundum:
ſe aũt ipſũ pdat et detrimẽtũ ſui faciat.
Nam qui me erubuerit: et meos Mat.10.f.
ſermones: hunc filius hominis erube= Mar.8.g.
ſcet cum venerit in maieſtate D
ſua et patris et ſanctorum angelorum.
Dico aũt vobis vere: ſunt aliqui Mat.16.g.
hic ſtantes: qui non guſtabunt mortẽ Mar.9.a.
donec videant regnum dei.
Factum eſt autem poſt hec verba fere Mat.17.a.
dies octo: et aſſumpſit petrum ⁊ Mar.9.a.
iacobũ ⁊ iohãnẽ et aſcendit in mõtem
Et facta eſt dum oraret ⌊ vt oraret.
ſpecies vultus eius
altera: et veſtitꝰ eius albus ⁊ refulgẽs.
Et ecce duo viri loquebantur cum
illo. Erant aũt moyſes et helias
viſi in maieſtate: et dicebant exceſſum
eius quẽ completurꝰ erat in hieruſalẽ.
Petrus vo ⁊ q̃ cũ illo erãt: grauati erãt
ſomno. Et euigilantes viderunt
maieſtatem eius: et duos viros
qui ſtabant cum illo. Et factum eſt cũ
diſcederent ab illo ait
petrus ad ieſum. Preceptor bonum
eſt nos hic eſſe: et faciamus
tria tabernacula: vnũ tibi ⁊ vnũ moyſi:
⁊ vnũ helie. Neſciẽs qd diceret. Hec ãt
illo loquente: facta ẽ nubes ⁊ obũbra
uit eos: et timuerunt
intrãtibꝰ illis in nubẽ. Et vox facta ẽ Mat.3.g.⁊
de nube dicens. Hic eſt 17.b.
filius meꝰ dilectus: ipſum audite. Mar.1.b.⁊ 9.a.
Et dum fieret vox: inuentus eſt ieſus Eſaie.42.a
ſolus: et ipſi tacuerunt: ⁊ nemini 2.Pe.1.d. ſup.3.e.
dixerunt in illis diebus quicq̃ ex E
his q̃ viderãt. Factũ ẽ aũt ĩ ſeqñti die Mat.17.d.
deſcendentibꝰ illis de monte: occurrit Mar.9.c.
illis turba multa. Et ecce vir
de turba exclamauit dicens. Magiſter
obſecro te: reſpice in filium
meum quia vnicus eſt mihi. Et ecce
ſpiritus apprehendit eum ⁊ ſubito
clamat: ⁊ elidit ⁊ diſſipat eũ cũ ſpuma:
et vix diſcedit dilanians
eum. Et rogaui diſcipulos tuos vt
eijcerent illum: et non potuerũt.
Rñdẽs ãt ieſus dixit. O generatio Mat.17.c.
infidelis et peruerſa: vſq̃quo Marci.9.c.
ero apud vos: ⁊ patiar vos.
Adduc huc filium tuum. Et cũ acce=
deret: eliſit illum demonium
et diſſipauit. Et increpauit ieſus

© Biblioteca Nacional de España

σοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ ἰάσα
το τὸν παῖδα, καὶ ἀπέδωκεν αὐτὸν τῷ πα-
τρὶ αὐτοῦ. ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ
μεγαλειότητι τοῦ θεοῦ. πάντων δὲ θαυμα
ζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ ἰησοῦς, εἶ
πε πρὸς τοὺς μαθητὰς αὐτοῦ. θέσθε ὑμεῖς
εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους. ὁ
γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδί-
δοσθαι εἰς χεῖρας ἀνθρώπων. οἱ δὲ ἠγνό-
ουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρακεκαλυμμέ
νον ἀπ' αὐτῶν ἵνα μὴ αἴσθωνται αὐτό, καὶ
ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήμα
τος τούτου. εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐ
τοῖς τὸ τίς ἂν εἴη μείζων αὐτῶν. ὁ δὲ ἰησοῦς
ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν
ἐπιλαβόμενος παιδίον, ἔστησεν αὐτὸ παρ
ἑαυτῷ, καὶ εἶπεν αὐτοῖς. ὃς ἐὰν δέξηται τοῦ
το τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχε
ται. καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀπο
στείλαντά με. ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑ
μῖν ὑπάρχων, οὗτος ἔσται μέγας. ἀποκρι-
θεὶς δὲ ὁ ἰωάννης εἶπεν. ἐπιστάτα. εἴδομεν
τινὰ ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαι-
μόνια, καὶ ἐκωλύσαμεν αὐτὸν ὅτι οὐκ ἀκο
λουθεῖ μεθ' ἡμῶν. καὶ εἶπε πρὸς αὐτὸν ὁ ἰη
σοῦς. μὴ κωλύετε. ὃς γὰρ οὐκ ἔστι καθ' ἡ-
μῶν ὑπὲρ ἡμῶν ἐστιν. ἐγένετο δὲ ἐν τῷ συμ
πληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐ
τοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστή-
ριξε τοῦ πορεύεσθαι εἰς ἰερουσαλήμ. καὶ ἀ-
πέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ.
καὶ πορευθέντες, εἰσῆλθον εἰς κώμην σαμα-
ρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ. καὶ οὐκ ἐδέ-
ξαντο αὐτόν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν
πορευόμενον εἰς ἰερουσαλήμ. ἰδόντες δὲ οἱ
μαθηταὶ αὐτοῦ ἰάκωβος καὶ ἰωάννης εἶπον.
κύριε θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ
τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι αὐτούς ὡς
καὶ ἠλίας ἐποίησεν. στραφεὶς δὲ ἐπετίμησεν
αὐτοῖς, καὶ εἶπεν. οὐκ οἴδατε οἵου πνεύμα
τός ἐστε ὑμεῖς. ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου
οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλ-
λὰ σῶσαι. καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην
ἐγένετο δὲ πορευομένων αὐτῶν ἐν τῇ ὁ-
δῷ, εἶπέ τις πρὸς αὐτόν. ἀκολουθήσω σοι
ὅπου ἂν ἀπέρχῃ κύριε. καὶ εἶπεν αὐτῷ ὁ ἰη
σοῦς. αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ
τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ
δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν
κεφαλὴν κλίνῃ. εἶπε δὲ πρὸς ἕτερον. ἀκο-
λούθει μοι. ὁ δὲ εἶπε, κύριε ἐπίτρεψόν μοι
ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου
εἶπε δὲ αὐτῷ ὁ ἰησοῦς. ἄφες τοὺς νεκρούς

spiritum immundum et sanauit
puerum: et reddidit illum patri
eius. Stupebant autem omnes in
magnitudine dei. Omnibus que mirantibus in omnibus que faciebat: dixit
ad discipulos suos. Ponite vos
in cordibus vestris sermones istos.
Filius enim hominis futurum est vt tradatur Mat.17.f. Marci.9.c
in manus hominum. At illi ignorabant
verbum istud: et erat velatum F
ante eos vt non sentirent illud: et
timebant eum interrogare de
hoc verbo. Intrauit autem cogitatio in eos Mat.18.a.
quis eorum maior esset. At iesus Mar.9.e.
videns cogitationes cordis illorum:
apprehendit puerum et statuit illum secus
se: et ait illis. Quicunque susceperit
puerum istum in nomine meo me recipit. Et quicunque me receperit: recipit eum qui
me misit. Nam qui minor est inter vos omnes:
hic maior est. Respondens Mar.9.f.
autem iohannes dixit. Preceptor: vidimus
quendam in nomine tuo eiicientem demonia
et prohibuimus eum: quia non sequitur
nobiscum. Et ait ad illum iesus.
Nolite prohibere. Qui enim non est aduersum nos
pro nobis est. Factum est autem dum complerentur
dies assumptionis eius:
et ipse faciem suam firmauit vt
iret in hierusalem. Et misit
nuncios ante conspectum suum:
et euntes intrauerunt in ciuitatem samaritanorum vt pararent illi. Et non receperunt
eum: quia facies eius erat
euntis hierusalem. Cum vidissent autem
discipuli eius iacobus et iohannes dixerunt.
Domine vis dicimus vt ignis descendat de G
celo et consumat illos?
Et conuersus increpauit
illos dicens. Nescitis cuius spiritus
estis. Filius hominis Mat.18.b.
non venit animas perdere sed
saluare. Et abierunt in aliud castellum.
Factum est autem ambulantibus illis in via: Mat.8.d.
dixit quidam ad illum. Sequar te
quocunque ieris. Dixit illi iesus.
Vulpes foueas habent et
volucres celi nidos:
filius autem hominis non habet vbi Mat.8.d.
caput suum recliet. Ait autem ad alterum. Sequere me. Ille autem dixit. Domine permitte mihi Mat.8.c.
primum ire et sepelire patrem meum.
Dixit que ei iesus. Sine vt mortui

© Biblioteca Nacional de España

θάψαι τοὺς ἑαυτῶν νεκρούς. σὺ δὲ ἀπελ-
θὼν διάγγελε τὴν βασιλείαν τοῦ θεοῦ. εἶπε
δὲ καὶ ἕτερος. ἀκολουθήσω σοι κύριε. πρῶ
τον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς
τὸν οἶκόν μου. εἶπε δὲ ὁ ἰησοῦς πρὸς αὐ
τόν. οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄ
ροτρον καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετος
ἐστὶν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Cap. 10.

Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος καὶ ἑτέ
ρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐ-
τοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς
πᾶσαν πόλιν καὶ τόπον οὗ ἔμελλεν αὐτὸς
ἔρχεσθαι. ἔλεγεν οὖν πρὸς αὐτούς. ὁ μὲν
θερισμὸς πολύς. οἱ δὲ ἐργάται ὀλίγοι. δε
ήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως
ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. ὑ
πάγετε, ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρ
νας ἐν μέσῳ λύκων. μὴ βαστάζετε βαλλάν
τιον, μὴ πήραν, μὴ δὲ ὑποδήματα, καὶ μη-
δένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. εἰς ἣν δ' ἂν
οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε εἰρήνη
τῷ οἴκῳ τούτῳ, καὶ ἐὰν ἡ ἐκεῖ υἱὸς εἰρήνης
ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν, εἰ
δὲ μή γε ἐφ' ὑμᾶς ἀνακάμψει. ἐν αὐτῇ δὲ τῇ
οἰκίᾳ μένετε ἐσθίοντες καὶ πίνοντες τὰ παρ
αὐτῶν. ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐ
τοῦ ἐστι. μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν
καὶ εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε καὶ δέχων-
ται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν,
καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ
λέγετε αὐτοῖς, ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία
τοῦ θεοῦ. εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ
μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλα
τείας αὐτῆς, εἴπατε. καὶ τὸν κονιορτὸν κολ-
ληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν ἀπομα-
σσόμεθα ὑμῖν. πλὴν τοῦτο γινώσκετε ὅτι
ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. λέ-
γω δὲ ὑμῖν, ὅτι σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκεί-
νῃ ἀνεκτότερον ἔσται ἢ τῇ πόλει ἐκείνῃ. οὐ
αί σοι χωραζίν, οὐαί σοι βηθσαϊδά, ὅτι εἰ ἐν
τύρῳ καὶ σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ
γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ
σποδῷ καθήμεναι μετενόησαν. πλὴν τύρῳ
καὶ σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει ἢ
ὑμῖν. καὶ σὺ καπερναοὺμ ἡ ἕως τοῦ οὐρα-
νοῦ ὑψωθεῖσα ἕως ᾅδου καταβιβασθήσῃ. ὁ
ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. καὶ ὁ ἀθετῶν ὑ
μᾶς, ἐμὲ ἀθετεῖ. ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν
ἀποστείλαντά με. ὑπέστρεψαν δὲ οἱ ἑβδο
μήκοντα μετὰ χαρᾶς λέγοντες. κύριε, καὶ
τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνό-
ματί σου. εἶπε δὲ αὐτοῖς. ἐθεώρουν τὸν σα
ταναν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόν

ſepeliant mortuos ſuos: tu aūt vade et
annuncia regnum dei.
Et ait alter. Sequar te domine:
ſed pmitte mihi primū renūciare his qui
domi ſunt. Ait ad illum ieſus.
Nemo mittēs manus ſuas ad aratrum
et aſpiciens retro aptus
eſt regno dei. Cap. 10.

Poſt hec āt deſignauit dñs ⁊ alios A
ſeptuagintaduos: ⁊ miſit illos
binos ante faciem ſuam in
omnē ciuitatem ⁊ locum quo erat ipſe
venturus. Et dicebat illis.
Meſſis qdē mlta: opariȷ āt pauci. Ro Mat.9.g.
gate ergo dominum meſſis vt
mittat operarios in meſſem ſuam. Ite Mat.10.c.
ecce ego mitto vos ſicut agnos
inter lupos. Nolite portare ſacculum
neqȝ perā neqȝ calciamenta: et neminē
per viam ſalutaueritis. In quācunqȝ Mat.10.b. Mar.6.b.
domum intraueritis: primū dicite: pax
huic domui: et ſi ibi fuerit filiꝰ pacis
requieſcet ſuper illum pax veſtra: ſin
aūt ad vos reuertet. In eadem autē B
domo manete: edētes et bibētes q̄ apd̄
illos ſt. Dignꝰ ē enī opariꝰ mercede ſua. Mat.10.b. ⁊.20.b.
Nolite tranſire de domo in domum.
Et in quācūqȝ ciuitatē itraueritis ⁊ ſuſce-
perint vos: mādūcate q̄ apponūtur vobis
et curate infirmos qui in illa ſunt et Mat.10.b. Mar.16.f.
dicite illis: appropinquauit in vos regnū
dei. In quācūqȝ āt ciuitatē itraueritis et
non ſuſceperint vos: exeuntes in pla-
teas eius dicite. Etiā puluerē q̄ adheſit
nobis de ciuitate veſtra extergimus in
vos. Tñ hoc ſcitote quia
appropinquauit regnum dei. Dico
vobis quia ſodomis in die illa
remiſſiꝰ erit q̄ illi ciuitati. Ve Mat.11.c. C
tibi corozaim: ve tibi bethſaida: quia ſi i
tyro et ſidone facte fuiſſent virtutes que
facte ſunt in vobis: olim in cilicio et
cinere ſedētes peniterent. Verūtñ tyro
et ſidoni remiſſius erit in iudicio q̄
vobis. Et tu capharnaum vſqȝ ad celū
exaltata: vſqȝ ad infernum demergeris.
Qui vos audit me audit: ⁊ q̄ vos ſper Mat.10.d ⁊.18.a. Johā.14.c
nit me ſpernit. Qui āt me ſpernit: ſper
nit eū q̄ miſit me. Reuerſi ſūt āt ſeptua
gintaduo cū gaudio dicētes. Dñe etiā
demonia ſubijciuntur nobis in nomine
tuo. Et ait illis. Videbam ſathanā
ſicut fulgur de celo cadentem.

© Biblioteca Nacional de España

τα. ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πα-
τεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶ-
σαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑ-
μᾶς οὐ μὴ ἀδικήσῃ. πλὴν ἐν τούτῳ μὴ χαίρε-
τε ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται.
χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη
ἐν τοῖς οὐρανοῖς. ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιά-
σατο τῷ πνεύματι ὁ ἰησοῦς καὶ εἶπεν. ἐξο-
μολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ
καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σο-
φῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ
νηπίοις. ναὶ ὁ πατὴρ ὅτι οὕτως ἐγένετο εὐ-
δοκία ἔμπροσθεν σου. καὶ στραφεὶς πρὸς
τοὺς μαθητὰς εἶπε. πάντα μοι παρεδόθη
ὑπὸ τοῦ πατρός μου. καὶ οὐδεὶς γινώσκει
τίς ἐστιν ὁ υἱὸς εἰ μὴ ὁ πατήρ, καὶ τίς ἐσ-
τὶν ὁ πατὴρ εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἐὰν βούλη-
ται ὁ υἱὸς ἀποκαλύψαι. καὶ στραφεὶς πρὸς
τοὺς μαθητὰς κατ᾽ ἰδίαν εἶπε. μακάριοι οἱ ὀ-
φθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. λέγω
γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασι-
λεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ
εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤ-
κουσαν. καὶ ἰδοὺ νομικός τις ἀνέστη ἐκπει-
ράζων αὐτὸν καὶ λέγων. διδάσκαλε, τί ποι-
ήσας ζωὴν αἰώνιον κληρονομήσω. ὁ δὲ εἶπε
πρὸς αὐτόν. ἐν τῷ νόμῳ τί γέγραπται.
πῶς ἀναγινώσκεις. ὁ δὲ ἀποκριθεὶς εἶπεν.
ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς
καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου,
καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης
τῆς διανοίας σου. καὶ τὸν πλησίον σου ὡς
σεαυτόν. εἶπε δὲ αὐτῷ. ὀρθῶς ἀπεκρίθης.
τοῦτο ποίει καὶ ζήσῃ. ὁ δὲ θέλων δικαι-
οῦν ἑαυτόν, εἶπε πρὸς τὸν ἰησοῦν. καὶ τίς ἐσ-
τί μου πλησίον. ὑπολαβὼν δὲ ὁ ἰησοῦς εἶ-
πεν. ἄνθρωπός τις κατέβαινεν ἀπὸ ἱερουσα-
λὴμ εἰς ἱεριχὼ καὶ λῃσταῖς περιέπεσεν, οἳ
καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέν-
τες ἀπῆλθον ἀφέντες ἡμιθανῆ τυγχάνοντα.
κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν
τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλ-
θεν. ὁμοίως δὲ καὶ λευΐτης γενόμενος κατὰ
τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθε.
σαμαρείτης δέ τις ὁδεύων ἦλθε κατ᾽ αὐτόν,
καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη. καὶ προ-
σελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ ἐπι-
χέων ἔλαιον καὶ οἶνον. ἐπιβιβάσας δὲ αὐ-
τὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδο-
χεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. καὶ ἐπὶ τὴν αὔ-
ριον ἐξελθὼν ἐκβαλὼν δύο δηνάρια, ἔδωκε
τῷ πανδοχεῖ καὶ εἶπεν αὐτῷ. ἐπιμελήθητι
αὐτοῦ, καὶ ὅτι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν

Ecce dedi vobis poteſtatem calcandi
ſupra ſerpentes et ſcorpiones et ſuper omnẽ
virtutem inimici: et nihil vobis
nocebit. Verumtamẽ in hoc nolite gau
dere: quia ſpiritus vobis ſubijciuntur.
Gaudete autẽ quod nomina vestra ſcripta ſũt
in celis. In ipſa hora exultauit in
ſpiritu ſancto et dixit. Confiteor
tibi domine pater celi
et terre quia abſcondiſti hec a ſapientib9
et prudentibus et reuelaſti ea
paruulis. Etiam pater quoniam ſic placuit
ante te.
Omnia mihi tradita ſunt
a patre meo. Et nemo ſcit
quis ſit filius niſi pater: et quis ſit
pater niſi filius: et cui voluerit
filius reuelare. Et conuerſus ad
diſcipulos ſuos dixit. Beati oculi
qui vident que vos videtis. Dico
enim vobis quod multi prophete et reges
voluerunt videre que vos videtis et nõ
viderũt: et audire que auditis et nõ au
dierũt. Et ecce quidã legiſperitus ſurrexit tẽ
ptãs illũ et dicens. Magiſter quid faciẽ
do vitã eternã poſſidebo? At ille dixit
ad eum. In lege quid ſcriptum eſt?
Quomodo legis. Ille reſpõdens dixit.
Diliges dominum deum tuum ex toto
corde tuo: et ex tota anima tua:
et ex omnibus viribus tuis et ex omni
mente tua: et proximum tuum ſicut
teipſum. Dixitque illi. Recte reſpõdiſti.
Hoc fac et viues. Ille autẽ volẽs iuſti
ficare ſeipſum dixit ad ieſum. Et quis eſt
meus proximus? Suſcipiens autẽ Jeſus di
xit. Homo quidã deſcẽdebat ab hierlm
in hiericho et incidit in latrones: qui
etiam deſpoliauerũt eũ: et plagis iposi
tis abierunt ſemiuiuo relicto.
Accidit autẽ vt ſacerdos quidã deſcẽdẽt
eadem via: et viſo illo preteriuit.
Similiter et leuita cum eſſet ſecus
locũ et videret eum pertranſijt. ſecus eũ:
Samaritanus autẽ quidã iter faciẽs venit ſe-
et videns eũ miſericordia motus eſt. Et appropiãs
alligauit vulnera eius infundens
oleum et vinum: et imponens illum
in iumentum ſuum duxit in ſtabulum
et curam eius egit. Et altera
die protulit duos denarios: et dedit
ſtabulario et ait. Curam illius habe: et quodcumque ſupererogaueris ego

Mar. 16. g.
Mat. 11. f.
Mat. 11. g.
Johã. 16. c.
Mat. 13. b.
Mat. 22. f.
Mar. 12. c.
Mat. 22. f.
Marci. 12. c.
Deut. 6. a.
Roma. 13. c.
Jaco. 2. b.
…16. d.
d. Suſcipiens i. reſpõdẽs.

© Biblioteca Nacional de España

τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. τίς οὖν
τούτων τῶν τριῶν πλησίον δοκεῖ σοι γε-
γονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς. ὁ
δὲ εἶπεν, ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. εἶ-
πεν οὖν αὐτῷ ὁ ἰησοῦς. πορεύου καὶ σὺ ποί-
ει ὁμοίως. ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐ-
τούς, καὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά. γυ-
νὴ δέ τις ὀνόματι μάρθα ὑπεδέξατο αὐτὸν
εἰς τὸν οἶκον αὐτῆς. καὶ τῇδε ἦν ἀδελφὴ κα-
λουμένη μαρία, ἣ καὶ παρακαθίσασα παρὰ
τοὺς πόδας τοῦ ἰησοῦ ἤκουε τὸν λόγον
αὐτοῦ. ἡ δὲ μάρθα περιεσπᾶτο περὶ πολ-
λὴν διακονίαν. ἐπιστᾶσα δὲ εἶπε. κύριε, οὐ
μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέ-
λιπε διακονεῖν. εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναν-
τιλάβηται. ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν αὐ-
τῇ. μάρθα μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ πε-
ρὶ πολλά. ἑνὸς δέ ἐστι χρεία. μαρία δὲ τὴν
ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρε-
θήσεται ἀπ' αὐτῆς. Cap. 11.

Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ
τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶ-
πε τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν. κύ-
ριε δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ
ἰωάννης ἐδίδαξε τοὺς μαθητὰς αὐτοῦ. εἶπε
δὲ αὐτοῖς ὅταν προσεύχησθε, λέγετε. πάτερ
ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄ-
νομά σου. ἐλθέτω ἡ βασιλεία σου. γενηθήτω
τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς
γῆς. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου
ἡμῖν τὸ καθ' ἡμέραν. καὶ ἄφες ἡμῖν τὰς ἁ-
μαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν παν-
τὶ ὀφείλοντι ἡμῖν. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς
πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πο-
νηροῦ. καὶ εἶπε πρὸς αὐτούς. τίς ἐξ ὑμῶν ἕ-
ξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν με-
σονυκτίου, καὶ εἴπῃ αὐτῷ. φίλε χρῆσόν μοι
τρεῖς ἄρτους, ἐπειδὴ φίλος παρεγένετο
ἐξ ὁδοῦ πρός με, καὶ οὐκ ἔχω ὃ παραθήσω
αὐτῷ. κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ. μή
μοι κόπους πάρεχε, ἤδη ἡ θύρα κέκλεισται
καὶ τὰ παιδία μου μετ' ἐμοῦ εἰς τὴν κοίτην
εἰσίν, οὐ δύναμαι ἀναστὰς δοῦναί σοι. λέ-
γω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς διὰ
τὸ εἶναι αὐτοῦ φίλον, διά γε τὴν ἀναίδειαν
αὐτοῦ ἐγερθεὶς δώσει αὐτῷ ὅσων χρῄζει.
κἀγὼ ὑμῖν λέγω. αἰτεῖτε καὶ δοθήσεται ὑ-
μῖν. ζητεῖτε καὶ εὑρήσετε. κρούετε καὶ ἀνοιγή-
σεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ
ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσε-
ται. τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱ-
ὸς ἄρτον, μὴ λίθον δώσει αὐτῷ. ἢ καὶ ἰχ-
θύν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ. ἢ

rediero reddam tibi. Quis
horum triũ videtur tibi proximus fuiſſe
illi qui incidit in latrones?
At ille dixit. Qui fecit miam in illũ.
Et ait illi ieſus. Vade et tu fac C
ſimiliter. Factum eſt autem dum irent:
et ipſe intrauit in quoddam caſtellum
et mulier q̃dã martha noĩe excepit illũ
in domũ ſuã. Et huic erat ſoror noĩe
maria: que etiam ſedens ſecus
pedes domini audiebat verbum
illi9. Martha aũt ſatagebat circa fre-
quẽs miſteriũ. Que ſtetit et ait. Dñe nõ
ẽ tibi cure q̃ ſoror mea reliq̃t me ſolã
miniſtrare? dic ergo illi vt me adiuuet.
Et reſpondens dixit illi dominus.
Martha martha ſollicita es et turbaris
erga plurima. Porro vnũ ẽ neceſſariũ.
Maria optimã partem elegit q̃ nõ au
feretur ab ea. Cap. 11.

Et factum eſt cum eſſet in A
quodã loco orãs: vt ceſſauit: dixit
vnus ex diſcipulis eius ad eum. Dñe
doce nos orare: ſicut
docuit iohannes diſcipulos ſuos.
Et ait illis. Cũ oratis dicite. Pater Mat. 6.c. Roma. 8.d
ſanctificetur nomen
tuum: adueniat regnum tuum:
panem noſtrum quotidianum da
nobis hodie: et dimitte nobis peccata
noſtra: ſiquidem et nos dimittimus
debitoribus noſtris et ne nos íducas in
temptationem.
Et ait ad illos. Quis veſtrum habebit
amicum et ibit ad illum media nocte:
et dicet illi: amice cõmoda mihi
tres panes quoniã amicus meus venit
de via ad me et nõ habeo qđ ponã añ
illũ: et ille deitus reſpondẽs dicat noli
mihi moleſtus eſſe: iam oſtiũ clauſũ ẽ
et pueri mei mecũ ſũt í cubili: nõ poſſũ Job. 29.a. Eſa. 8.d.
ſurgẽ et dare tibi. Et ille ſi pſeuerauerit B
pulſãs: dico vobis et ſi nõ dabit illi ſur
gens: eo q̃ amic9 eius ſit: ppter ipro
bitatem tñ eius ſurget et dabit illi quot-
quot hʒ neceſſarios. Et dico ego vob.
Petite et dabit vob: q̃rite et inuenietis: Mat. 7.b. Iaco. 1.a Iohã. 16.f
pulſate et aperiet vob. Oĩs eĩ q̃ petit ac
cipit: et qui q̃rit inuenit et pulſãti aperie
tur. Quis autem ex vobis patrem petit
panẽ: nũqđ lapidẽ dabit illi? Aut piſ-
cẽ: nũqđ p piſce ſerpẽtẽ dabit illi? Aut

© Biblioteca Nacional de España

και εάν αιτήση ωόν, μη επιδώσει αυτώ
σκορπίον. ει ουν υμείς πονηροί υπάρχον-
τες οίδατε δόματα αγαθά διδόναι τοις τέκ-
νοις υμών, πόσω μάλλον ο πατήρ ο εξ ου-
ρανού δώσει πνεύμα άγιον τοις αιτούσιν
αυτόν. και ην εκβάλλων δαιμόνιον, και αυ-
τό ην κωφόν. εγένετο δε του δαιμονίου ε-
ξελθόντος ελάλησεν ο κωφός, και εθαύμασαν
οι όχλοι. τινές δε εξ αυτών είπον. εν βεελ-
ζεβούλ άρχοντι των δαιμονίων εκβάλλει
τα δαιμόνια. έτεροι δε πειράζοντες σημεί-
ον παρ αυτού εζήτουν εξ ουρανού. αυτός
δε ειδώς τα διανοήματα αυτών είπεν αυ-
τοίς. πάσα βασιλεία εφ εαυτήν μερισθείσα
ερημούται, και οίκος επί οίκον πίπτει. ει
δε και ο σατανάς εφ εαυτόν εμερίσθη, πως
σταθήσεται η βασιλεία αυτού, ότι λέγετε
εν βεελζεβούλ εκβάλλειν με τα δαιμόνια.
ει δε εγώ εν βεελζεβούλ εκβάλλω τα δαι-
μόνια, οι υιοί υμών εν τίνι εκβάλλουσι. δι-
ά τούτο κριταί υμών αυτοί έσονται. ει δε
εν δακτύλω θεού εκβάλλω τα δαιμόνια, ά-
ρα έφθασεν εφ υμάς η βασιλεία του θεού. ό-
ταν ο ισχυρός καθωπλισμένος φυλάσση την
εαυτού αυλήν, εν ειρήνη εστί τα υπάρχον-
τα αυτού. επάν δε ο ισχυρότερος αυτού ε-
πελθών νικήση αυτόν, την πανοπλίαν αυ-
τού αίρει εφ η επεποίθει, και τα σκύλα αυ-
τού διαδίδωσιν. ο μη ων μετ εμού, κατ ε-
μού εστί, και ο μη συνάγων μετ εμού σκορ-
πίζει. όταν το ακάθαρτον πνεύμα εξέλθη α-
πό του ανθρώπου, διέρχεται δι ανύδρων τό-
πων ζητούν ανάπαυσιν, και μη ευρίσκον
λέγει. υποστρέψω εις τον οίκον μου όθεν
εξήλθον. και ελθών ευρίσκει σεσαρωμένον
και κεκοσμημένον. τότε πορεύεται και πα-
ραλαμβάνει επτά έτερα πνεύματα πονηρό-
τερα εαυτού, και εισελθόντα κατοικεί εκεί
και γίνεται τα έσχατα του ανθρώπου εκεί-
νου χείρονα των πρώτων. και εγένετο εν
τω λέγειν αυτόν ταύτα, επάρασα τις γυνή
φωνήν εκ του όχλου είπεν αυτώ. μακαρία
η κοιλία η βαστάσασα σε, και μαστοί ους
εθήλασας. αυτός δε είπε. μενούνγε μακάρι-
οι οι ακούοντες τον λόγον του θεού, και φυ-
λάσσοντες αυτόν. των δε όχλων επαθροιζο-
μένων, ήρξατο λέγειν. η γενεά αύτη πονη-
ρά εστίν. σημείον επιζητεί, και σημείον ου
δοθήσεται αυτή ει μή το σημείον ιωνά του
προφήτου. καθώς γαρ εγένετο ιωνάς ση-
μείον τοις νινευΐταις, ούτως έσται και ο υιός
του ανθρώπου τη γενεά ταύτη. βασίλισ-
σα νότου εγερθήσεται εν τη κρίσει μετά των

ſi petierit ouum: nunq̄d porriget illi
ſcorpionē? Si ergo vos cuꝫ ſitis mali
noſtis bona data dare filijs
veſtris: quãto magis pr̄ vr̄ celeſtis de ce-
lo dabit ſpiritum bonum petentibus
ſe. Et erat eijciens demonium et illud Mat.9.f.et 12.c.
erat mutuꝫ: et cum eieciſſet demonium
locutus eſt mutus: ⁊ ãmirate ſunt
turbe. Quidã aũt ex eis dixerũt. In beel- Mat.12.c. Marci.3.e
zebub principe demoniorum eijcit
demonia. Et alij temptantes ſignum Mat.12.c.
de celo querebant ab eo. Ipſe
aũt vt vidit cogitatiões eorũ dixit eis. C
Omne regnũ in ſe diuiſum ⌈ Si Mat.12.d. Mar.3.f.
deſolabit᷑: ⁊ dom⁹ ſupra domũ cadet.
aũt ⁊ ſathanas in ſeipſũ diuiſus ē: quõ
ſtabit regnum eius: quia dicitis
in beelzebub me eijcere demonia.
Si aũt ego in beelzebub eijcio demo-
nia: filij veſtri in quo eijciunt? Ideo
ipſi iudices veſtri erunt. Porro ſi
in digito dei eijcio demonia: profecto
peruenit in vos regnum dei. Cum
fortis armatus cuſtodit
atrium ſuũ: in pace ſunt ea q̃ poſſidet.
Si aũt fortior eo ſuperueniens
vicerit eum vniuerſa arma eius
auferet in quib⁹ cõfidebat et ſpolia ei⁹
diſtribuet. Qui non eſt mecũ ꝯtra me
eſt: et qui nõ colligit mecuꝫ diſpergit.
Cum imundus ſpiritus exierit de Mat.12.f.
homine: ambulat per loca inaquoſa
querens requiē et non inueniens
dicit. Reuertar in domum meam vñ D
exiui. Et cũ venerit iuenit eã ſcopis mũ-
datã. Tunc vadit et aſſumit
ſeptem alios ſpiritus ſecum nequiores
ſe et ingreſſi habitant ibi.
Et fiunt nouiſſima hominis illius
peiora prioribus. Factũ eſt aũt cũ hoc
diceret: extollens vocē quedã mulier
de turba dixit illi. Beatus
venter qui te portauit: et vbera que
ſuxiſti. At ille dixit. Quinimo: beati
qui audiunt verbum dei et cuſtodiũt
illð. Turbis aũt cõcurrētib⁹
cepit dicere. Generatio hec gñatio ne- Mat.12.f. Marci.8.c
quã eſt ſignum querit et ſignum non
dabit ei niſi ſignum Jone
prophete. Nam ſicut fuit ionas ſignum
niniuitis: ita erit et filius
hominis generationi iſti. Regina 3.Reg.10.a 2.Pa.9.a.
auſtri ſurget in iudicio cum

© Biblioteca Nacional de España

ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ
αὐτούς· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς
ἀκοῦσαι τὴν σοφίαν σολομῶνος. καὶ ἰ-
δοὺ πλεῖον σολομῶνος ὧδε. ἄνδρες νι-
νευῒ ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γε
νεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτήν, ὅτι
μετενόησαν εἰς τὸ κήρυγμα ἰωνᾶ, καὶ ἰδοὺ
πλεῖον ἰωνᾶ ὧδε. οὐδεὶς δὲ λύχνον ἅψας
εἰς κρυπτὴν τίθησιν οὐδὲ ὑπὸ τὸν μόδιον,
ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμε-
νοι τὸ φέγγος βλέπωσιν. ὁ λύχνος τοῦ σώ-
ματος ἐστὶν ὁ ὀφθαλμός. ὅταν οὖν ὁ ὀφ-
θαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου
φωτεινόν ἐστιν. ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ
σῶμά σου σκοτεινόν. σκόπει οὖν μὴ τὸ
φῶς τὸ ἐν σοὶ σκότος ἐστίν. εἰ οὖν τὸ σῶ-
μά σου ὅλον φωτεινόν, μὴ ἔχον τι μέρος
σκοτεινόν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ
λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. ἐν δὲ τῷ
λαλῆσαι, ἠρώτα αὐτὸν φαρισαῖός τις ὅ-
πως ἀριστήσῃ παρ' αὐτῷ. εἰσελθὼν δὲ ἀνέ-
πεσεν. ὁ δὲ φαρισαῖος ἰδὼν ἐθαύμασεν ὅτι
οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου.
εἶπε δὲ ὁ κύριος πρὸς αὐτόν. νῦν ὑμεῖς οἱ
φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ
πίνακος καθαρίζετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέ
μει ἁρπαγῆς καὶ πονηρίας. ἄφρονες, οὐχ ὁ
ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν ἐποίησε.
πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ ἰ-
δοὺ πάντα καθαρὰ ὑμῖν ἐστίν. ἀλλ' οὐαὶ
ὑμῖν τοῖς φαρισαίοις, ὅτι ἀποδεκατοῦτε
τὸ ἡδύοσμον καὶ τὸ πήγανον, καὶ πᾶν λά
χανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀ-
γάπην τοῦ θεοῦ. ταῦτα ἔδει ποιῆσαι, κἀκεῖ
να μὴ ἀφιέναι. οὐαὶ ὑμῖν τοῖς φαρισαίοις ὅ-
τι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συ-
ναγωγαῖς καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγο
ραῖς. οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι
ὑποκριταί, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄ-
δηλα, καὶ οἱ ἄνθρωποι περιπατοῦντες ἐπά-
νω οὐκ οἴδασιν. ἀποκριθεὶς δέ τις τῶν νομι
κῶν, λέγει αὐτῷ. διδάσκαλε, ταῦτα λέγων
καὶ ἡμᾶς ὑβρίζεις. ὁ δὲ εἶπε. καὶ ὑμῖν τοῖς
νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώ-
πους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ
τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς
φορτίοις. οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ
μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν
ἀπέκτειναν αὐτούς. ἄρα μαρτυρεῖτε καὶ συ
νευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν, ὅ
τι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰ
κοδομεῖτε αὐτῶν τὰ μνημεῖα. διὰ τοῦτο καὶ
ἡ σοφία τοῦ θεοῦ εἶπεν. ἀποστελῶ εἰς αὐ-

viris generationis huius: ꝛ condēnabit
illos: quia venit a finibus terre
audire sapientiā salomonis. Et ecce
plusquā salomon hic. Viri niniuite — p. hic ad uerbū loci. ꝛ sic infra.
surgent in iudicio cum generatione
hac: et condemnabunt illam: quia — Jone. 3. b.
pniaꝫ egerūt in predicatiōe ione. Et ec — Mat. 12. f.
ce plusquā iona hic. Nemo lucernā accēdit — E
et in abscondito ponit: neqꝫ sub modio — sup. 8. b. Mat. 5. b.
sed supra candelabruꝫ: vt qui igrediū — Mar. 4. d.
tur lumen videant. Lucerna corporis — Mat. 6. c.
tui est oculus tuus. Si oculus
tuus fuerit simplex: totum corpus tuuꝫ
lucidum erit: si aūt nequaꝫ fuerit: etiā
corp⁹ tuū tenebrosū erit. Vide ergo ne
lumē qḋ in te est tenebre sint. Si ergo
corp⁹ tuū totū lucidū fuerit nō hñs ali
quā ptē tenebraꝝ: erit lucidū totuꝫ: et si
cut lucerna fulgoris illuminabit te. Et
cum loqueret: rogauit illū q̄dā pharise
us vt pranderet apud se. Jesus āt ingress⁹
recubuit. Pharise⁹ āt cepit itra se repu-
tans dicere: q̄re non baptizat⁹ esset an
Et ait dñs ad illū. Nūc vos ⌊ prādiū. — Mat. 23. c.
pharisei quod deforis est calicis et
catini mūdatis: qḋ autē it⁹ est vr̄m ple
nū est rapina et iniquitate. Stulti nōne — F
q̄ fecit qḋ deforis ē: etiā id qḋ deit⁹ est
fecit. Verūtñ qḋ supest date elemosynā:
et ecce oīa mūda sunt vobis. Sed ve — Mat. 23. d
vobis phariseis qui decimatis
mentan et rutam et omne olus:
et preteritis iudicium et charitatem
dei. Hec aūt oportuit facere et illa
non omittere. Ve vobis phariseis: qui — Mat. 23. b.
diligitis primas cathedras i synagogis
et salutationes in foro.
Ve vobis scribe ꝛ pharisei — Mat. 23. c.
hypocrite quia estis vt monumenta que
nō parent: et homines ābulātes supra
nesciūt. Respondēs āt quidā ex legispe
ritis ait illi. Magister: hec dicens
etiā contumeliā nobis facis. At ille ait — G
legispit: ve q̄ oneratꝭ hoīes ⌊ Et vobꝭ — Mat. 23. a.
oneribus que portari nō pñt ꝛ ipsi vno
digito vestro non tangitis
sarcinas. Ve vobis qui edificatis
monumēta prophetarū: patres aūt vr̄i
occiderunt illos. Profecto testificami
et cōsentitis operib⁹ patrū vestroꝝ: qm̄
quidē ipsi eos occiderūt: vos autē edi
ficatis eorum sepulchra. Propterea et
sapientia dei dixit. Mittam ad illos — mat. 23. f.

© Biblioteca Nacional de España

τοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι, καὶ ἐκδιώξουσιν, ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης ἀπὸ τοῦ αἵματος ἄβελ, ἕως τοῦ αἵματος ζαχαρίου τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου. ναὶ λέγω ὑμῖν ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. οὐαὶ ὑμῖν τοῖς νομικοῖς ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως, αὐτοὶ οὐκ εἰσήλθετε καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτούς, ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι δεινῶς συνέχειν καὶ ἀποστοματίζειν αὐτόν, περὶ πλειόνων ἐνεδρεύοντες αὐτόν, ζητοῦντες θηρεῦσαι τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ. Cap.12.

Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου ὥστε καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον. προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν φαρισαίων ἥτις ἐστὶν ὑπόκρισις. οὐδὲν δὲ συγκεκαλυμμένον ἐστίν, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. ἀνθ᾽ ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμιείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων. λέγω δὲ ὑμῖν τοῖς φίλοις μου μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερον τι ποιῆσαι. ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε. φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν. ναὶ λέγω ὑμῖν τοῦτον φοβήθητε. οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο, καὶ ἓν ἐξ αὐτῶν οὐκ ἐστὶν ἐπιλελησμένον ἐνώπιον τοῦ θεοῦ, ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. μὴ οὖν φοβεῖσθε, πολλῶν στρουθίων διαφέρετε ὑμεῖς. λέγω δὲ ὑμῖν πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν ἑαυτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ. ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ. καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ. τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας μὴ μεριμνᾶτε πῶς ἢ τι ἀπολογήσεσθε, ἢ τι εἴπητε. τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν. εἶπε δέ τις αὐ

pphetas et apoſtolos et ex illis occident et perſequentur: vt inquiratur ſanguis omniũ pphetaꝝ qui effuſus eſt a conſtitutione mundi a generatiõe iſta a ſanguine abel vſq; ad ſanguinem zacharie qui perijt inter altare et edem. Ita dico vobis requiretur ab hac gñatione. Ue vobis legiſpitis: q̄ tuliſtiſ clauẽ ſcientie: ipſi nõ introiſtis et eos q̄ introibant prohibuiſtis. Cum autem hec ad illos diceret: ceperunt phariſei et legiſperiti grauiter inſiſtere et os eius opprimere de multis inſidiantes ei: et querentes aliquid capere de ore eius: vt accuſarent eum. Mat.23.b. Actuũ.23.a Cap.12.

A Multis ãt turbis concurrentibus: ita vt ſe inuicem conculcarent cepit dicere ad diſcipulos ſuos. Attendite a fermento phariſeoꝛuꝫ qđ eſt hypocriſiſ. Nihil enim opertum eſt quod non reueletᷓ: neq; abſconditũ quod nõ ſciatᷓ. Quoniam que in tenebris dixiſtis: in lumine dicentur: et quod in aure locuti eſtis in cubiculiſ: predicabitur in tectis. Dico autem vobis amicis meis ne terreamini ab his q̄ occidunt corpus: et poſt hoc non habent amplius quid faciant. Oſtendam autẽ vobis quem timeatis. Timete eũ q̄ poſtq̄ occiderit hꝫ ptãtẽ mittẽ in gehẽnaꝫ. Ita dico vobis hunc timete. Nõne quinq; paſſeres veneũt dipõdio: et vnus ex illis non eſt in obliuione coram deo. Sed et capilli capitis veſtri oẽs numerati ſũt. Nolite ergo timẽ: multis paſſerib9 pluriſ eſtiſ vos. Dico ãt vobiſ: oĩs q̄cũq; ꝯfeſſ9 fuerit me coram hominibus: et filius hominis confitebitur illum coram angelis dei. Qui autem negauerit me coram hominibus: negabitur coram angelis dei. Mat.16.b Marci.8.c Mat.10.c. Mar.4.d. Marci.12.c Mat.10.c. Mat.10.f. Mat.10.f. B Mat.10.f. Marci.8.g Mat.10.f.

Et omnis qui dicit verbũ in filiũ hois remittetur illi: ei autem qui in ſpirituꝫ ſanctum blaſphemauerit nõ remittetur. Cum autẽ inducent vos in ſynagogas et ad magiſtratus et poteſtates: nolite ſolliciti eẽ q̄liter aut q̄d rñdeatiſ aut q̄d dicatiſ. Spũs enim ſctũs docebit vos in ipa hora: q̄d oporteat vos dicẽ. Ait ãt Mat.12.d. Mar.3.g. Mat.14.d Marci.13.c

© Biblioteca Nacional de España

τῷ ἐκ τοῦ ὄχλου. διδάσκαλε, εἰπὲ τῷ ἀ-
δελφῷ μου μερίσασθαι μετ᾽ ἐμοῦ τὴν κλη
ρονομίαν. ὁ δὲ εἶπεν αὐτῷ. ἄνθρωπε, τίς με
κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ᾽ ὑμᾶς.
εἶπε δὲ πρὸς αὐτούς. ὁρᾶτε καὶ φυλάσσεσ
θε ἀπὸ τῆς πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισ-
σεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστὶν ἐκ τῶν ὑπαρ-
χόντων αὐτοῦ. εἶπε δὲ παραβολὴν πρὸς
αὐτοὺς λέγων. ἀνθρώπου τινὸς πλουσί-
ου εὐφόρησεν ἡ χώρα. καὶ διελογίζετο ἐν ἑ-
αυτῷ λέγων. τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ
συνάξω τοὺς καρπούς μου. καὶ εἶπε. τοῦ-
το ποιήσω. καθελῶ μου τὰς ἀποθήκας καὶ
μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάν
τα τὰ γενήματά μου καὶ τὰ ἀγαθά μου, καὶ
ἐρῶ τῇ ψυχῇ μου. ψυχὴ ἔχεις πολλὰ ἀ-
γαθὰ κείμενα εἰς ἔτη πολλά. ἀναπαύου,
φάγε, πίε, εὐφραίνου. εἶπε δὲ αὐτῷ ὁ θε-
ός, ἄφρον ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀ
παιτοῦσιν ἀπὸ σοῦ. ἃ δὲ ἡτοίμασας τίνι ἔσ
ται. οὕτως ὁ θησαυρίζων ἑαυτῷ καὶ μὴ εἰς
θεὸν πλουτῶν. εἶπε δὲ πρὸς τοὺς μαθη-
τὰς αὐτοῦ. διὰ τοῦτο ὑμῖν λέγω. μὴ με-
ριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ
τῷ σώματι τί ἐνδύσησθε. ἡ ψυχὴ πλεῖον
ἐστὶ τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύμα
τος. κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπεί
ρουσιν, οὐδὲ θερίζουσιν, οἷς οὐκ ἐστὶ ταμεῖ
ον οὐδὲ ἀποθήκη, καὶ ὁ θεὸς τρέφει αὐτούς.
πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετει-
νῶν. τίς δὲ ἐξ ὑμῶν μεριμνῶν, δύναται
προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν
ἕνα. εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί πε
ρὶ τῶν λοιπῶν μεριμνᾶτε. κατανοήσατε τὰ
κρίνα πῶς αὐξάνει, οὐ κοπιᾷ οὐδὲ νήθει.
λέγω δὲ ὑμῖν, οὐδὲ σολομὼν ἐν πάσῃ τῇ
δόξῃ αὐτοῦ, περιεβάλετο ὡς ἓν τούτων.
εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄν-
τα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ
θεὸς οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑ
μᾶς ὀλιγόπιστοι. καὶ ὑμεῖς μὴ ζητεῖτε τί φά
γητε, ἢ τί πίητε, καὶ μὴ μετεωρίζεσθε. ταῦτα
γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. ὑ
μῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων.
πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ
ταῦτα πάντα προστεθήσεται ὑμῖν. μὴ
φοβοῦ τὸ μικρὸν ποίμνιον, ὅτι εὐδό-
κησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βα-
σιλείαν. πωλήσατε τὰ ὑπάρχοντα ὑ-
μῶν, καὶ δότε ἐλεημοσύνην. ποιήσατε ἑ-
αυτοῖς βαλλάντια μὴ παλαιούμενα, θη-
σαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. ὅ-
που κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφ-

de turba. Magiſter dic fratri
meo: vt diuidat mecum hereditatem.
At ille dixit ei. Homo quis me Exo.2.c.
cõſtituit iudicẽ aut diuiſorẽ ſupra vos? Actu.7.b.
Dixit ꝙ ad illos. Videte et cauete
ab omni auaricia: q̃r non in abundantia
cuiuſꝙ vita ei9 eſt ex his que poſſidet.
Dixit autem ſimilitudinem ad C
illos dicens. Hois cuiuſdã diuitis vbe
res fruct9 ager attulit: et cogitabat itra
ſe dicens. Quid faciã: ꝙ nõ habeo quo
cõgregem fruct9 meos? Et dixit. Hoc
faciam. Deſtruam horrea mea: et
maiora faciam: ⁊ illuc cõgregabo oĩa
que nata ſũt mihi: et bona mea: et
dicã anime mee. Aia habes multa bo
na poſita in annos plurimos: requieſce:
comede: bibe: eplare. Dixit ãt illi de9
Stulte hac nocte animã tuam repetũt
a te: que aũt paraſti cui9 erunt?
Sic eſt qui ſibi theſaurizat et non eſt in
deum diues. Dixit ꝙ ad diſcipulos
ſuos. Jdõ dico vob. Nolite ſolliciti eẽ Mat.6.e.
anime veſtre quid manducetis: neꝙ Roma.12.c 1.Pe.5.c.
corpori veſtro q̃d induamini. Aia plus
eſt ꝙ eſca: ⁊ corpus plus ꝙ veſtimentu.
Conſiderate coruos: quia non ſeminãt
neꝙ metunt: quib9 non eſt cellarium
neꝙ horreum: ⁊ deus paſcit illos.
Quanto magis vos pluris eſtis illis.
Quis autem veſtrum cogitando poteſt
adijcere ad ſtaturã ſuaꝫ cubitũ q̃d de
vnũ? Si ergo neꝙ q̃d minimũ ẽ poteſtis:
ceteris ſolliciti eſtis. Cõſiderate Mat.6.f.
lilia quõ creſcunt: nõ laborãt neꝙ nẽt. D
Dico aũt vobis nec ſalomon in omni
gloria ſua veſtiebatur ſicut vnũ ex iſtis.
Si autem fenũ quod hodie eſt in agro
⁊ cras in clibanum mittitur
deus ſic veſtit: quanto magis vos
puſille fidei? Et vos nolite q̃re q̃d mã
duceti aut q̃d bibatis: et nolite in ſubli
me tolli. Hec aũt oĩa gẽtes mũdi q̃rũt
Pater aũt veſter ſcit q̃m his indigetis.
Verũtñ q̃rite primũ regnũ dei ⁊ iuſtitiã Mat.6.g.
eius: et hec oĩa adijcient vobis. Nolite
timere puſillus grex: quia complacuit
patri veſtro dare vobis regnum.
Vendite que poſſidetis Mat.19.e. Mar.10.c.
et date elemoſinã. Facite vobis Mat.6.d.
ſacculos qui non veteraſcunt: theſauruꝫ
non deficientem in celis quo
fur non appropiat: neꝙ tinea corrũpit.

L

© Biblioteca Nacional de España

θείρει. όπου γαρ εστίν ο θησαυρός υμών,
εκεί και η καρδία υμών έσται. έστωσαν υ=
μών αι οσφύες περιεζωσμέναι, και οι λύχνοι
καιόμενοι, και υμείς όμοιοι ανθρώποις
προσδεχομένοις τον κύριον εαυτών πότε
αναλύσει εκ των γάμων, ίνα ελθόντος και
κρούσαντος, ευθέως ανοίξωσιν αυτώ. μακά
ριοι οι δούλοι εκείνοι ους ελθών ο κύριος
ευρήσει γρηγορούντας. αμήν λέγω υμίν,
ότι περιζώσεται και ανακλινεί αυτούς, και
παρελθών διακονήσει αυτοίς. και εάν έλθη
εν τη δευτέρα φυλακή, και εν τη τρίτη
φυλακή έλθη και εύρη ούτως, μακάριοι ει=
σίν οι δούλοι εκείνοι. τούτο δε γινώσκετε, ό
τι ει ήδει ο οικοδεσπότης ποία ώρα ο κλέπ=
της έρχεται, εγρηγόρησεν αν, και ουκ αφή=
κε διορυγήναι τον οίκον αυτού, και υμείς
ουν γίνεσθε έτοιμοι, ότι η ώρα ου δοκείτε
ο υιός του ανθρώπου έρχεται. είπε δε αυ
τώ ο πέτρος. κύριε προς ημάς την παραβο
λήν ταύτην λέγεις η και προς πάντας. είπε
δε ο κύριος. τις άρα εστίν ο πιστός οικονό=
μος και φρόνιμος ον καταστήσει ο κύριος
επί της θεραπείας αυτού του διδόναι εν
καιρώ το σιτομέτριον. μακάριος ο δούλος
εκείνος ον ελθών ο κύριος αυτού ευρήσει
ποιούντα ούτως. αληθώς λέγω υμίν, ότι ε
πι πάσι τοις υπάρχουσιν αυτού καταστή=
σει αυτόν. εάν δε είπη ο δούλος εκείνος εν
τη καρδία αυτού, χρονίζει ο κύριος μου έρ
χεσθαι, και άρξηται τύπτειν τους παίδας
και τας παιδίσκας εσθίειν τε και πίνειν
και μεθύσκεσθαι, ήξει ο κύριος του δούλου
εκείνου, εν ημέρα η ου προσδοκά, και εν ώ
ρα η ου γινώσκει, και διχοτομήσει αυτόν,
και το μέρος αυτού μετά των απίστων θή=
σει. εκείνος δε ο δούλος ο γνούς το θέλημα
του κυρίου αυτού, και μη ετοιμάσας μη δε
ποιήσας προς το θέλημα αυτού, δαρήσε=
ται πολλάς. ο δε μη γνούς ποιήσας δε άξια
πληγών, δαρήσεται ολίγας. παντί δε ω
εδόθη πολύ, πολύ ζητηθήσεται παρ αυ=
τού, και ω παρέθεντο πολύ, περισσότερον
αιτήσουσιν αυτόν. πυρ ήλθον βαλείν εις
την γην, και τι θέλω ει ήδη ανήφθη. βάπτισ
μα δε έχω βαπτισθήναι, και πως συνέχομαι
εως ου τελεσθή. δοκείτε ότι ειρήνην παρε=
γενόμην δούναι εν τη γη, ουχί λέγω υ=
μίν, αλλ η διαμερισμόν. έσονται γαρ από
του νυν πέντε εν οίκω ενί διαμεμερισμένοι
τρεις επί δυσί, και δύο επί τρισί. διαμερισθή
σεται πατήρ επί υιώ, και υιός επί πατρί

Ubi enim theſaurus veſter eſt: Mat.6.c.
ibi et coꝛ veſtrum erit. Sint E
lumbi veſtri pꝛecincti et lucerne
ardentes in manibꝰ vr̃is: ⁊ vos ſil'es ho
minibus expectantibus dñm ſuũ quãdo
reuertatur a nuptijs: vt cum venerit ⁊
pulſauerit confeſtim aperiant ei. Beati Mat.24.g.
ſerui illi quos cum venerit dominus
inuenerit vigilãtes. Amen dico vobis:
qꝫ pꝛeciget ſe ⁊ faciet illos diſcũbere ⁊
tranſiens miniſtrabit illis. Et ſi vene=
rit in ſecunda vigilia: et ſi in tertia
vigilia venerit ⁊ ita iuenerit: beati ſũt
ſerui illi. Hoc aũt ſcitote quoniam Mat.24.g Mar.13.g.
ſi ſciret paterfamilias qua hoꝛa fur
veniret: vigilaret vtiqꝫ et non ſineret
perfodi domum ſuam. Et vos
eſtote parati: quia qua hoꝛa non puta
tis filius hominis veniet. Ait autẽ ei
petrus. Domine ad nos
dicis hanc pabolã: an et ad oẽs? Dixit
aũt dñs. Quis putas eſt fidelis diſpen= Mat.24.g.
ſatoꝛ et pꝛudens quem cõſtituit dominꝰ
ſupꝛa familiam ſuam vt det illis in
tẽpoꝛe tritici menſuram? Beatus F
ille ſeruus quẽ cum venerit dñs iuene
rit ita faciẽtẽ. Vere dico vobꝭ qm̃ ſupꝛa
omnia que poſſidet conſtituet
illum. Qđ ſi dixerit ſeruus ille in
coꝛde ſuo: moraꝫ facit dñs meꝰ venire:
et cepit percutere ſeruos
et ancillas et edere et bibere
et inebꝛiari: veniet dominus ſerui
illius in die qua non ſperat et hoꝛa
qua neſcit et diuidet eum
partemqꝫ eiꝰ cum infidelibus ponet.
Ille aũt ſeruus qui cognouit volũtatẽ Jaco.4.d.
domini ſui: et non ſe pꝛeparauit: ⁊ nõ
fecit ſecunduꝫ voluntatem eius: vapu
labit multis. Qui aũt nõ cognouit et fe Oſee.4.d.
plagꝭ: vapulabit paucis. Oi ⌊cit digna
autem cui mltũ datũ ẽ mltũ quereť ab
eo: et cui cõmendauerť multum: plus
petent ab eo. Ignem veni mittere in
terrã: ⁊ quid volo niſi vt accẽdať? Ba
ptiſma autẽ hẽo baptizari ⁊ quõ coartoꝛ
vſqꝫ dũ perficiať. Putatꝭ qꝛ pacẽ veni Mat.10.f. G
mittere in terram? Non dico vobis
ſed ſeparationem. Erunt enim ex
hoc quinqꝫ in domo vna diuiſi
tres in duos et duo in tres diuidentur
pater in filiũ: ⁊ filius in patrem ſuum

© Biblioteca Nacional de España

μήτηρ ἐπὶ θυγατρί, καὶ θυγάτηρ ἐπὶ μητρί
πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη
ἐπὶ τὴν πενθερὰν αὐτῆς. ἔλεγε δὲ καὶ τοῖς
ὄχλοις. ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλου
σαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε ὄμβρος ἔρ
χεται, καὶ γίνεται οὕτως. καὶ ὅταν νότον
πνέοντα, λέγετε ὅτι καύσων ἔσται, καὶ γίνε
ται. ὑποκριταί τὸ πρόσωπον τοῦ οὐρανοῦ
καὶ τῆς γῆς οἴδατε δοκιμάζειν τὸν δὲ καιρὸν
τοῦτον πῶς οὐ δοκιμάζετε. τί δὲ καὶ ἀφ
ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον. ὡς γὰρ ὑπά
γεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα
ἐν τῇ ὁδῷ, δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ'
αὐτοῦ, μήποτε κατασύρῃ σε πρὸς τὸν κρι
τήν, καὶ ὁ κριτής σε παραδῷ τῷ πράκτορι,
καὶ ὁ πράκτωρ βάλῃ σε εἰς φυλακήν. λέγω
καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ
ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς
τοῦ τυφλοῦ, καὶ εἶπεν αὐτῷ. ὕπαγε νίψαι
εἰς τὴν κολυμβήθραν τοῦ σιλωάμ, ὃ ἑρμη-
νεύεται ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ ἐνί-
ψατο, καὶ ἦλθε βλέπων. οἱ οὖν γείτονες καὶ
οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον ὅτι τυ-
φλὸς ἦν ἔλεγον. οὐχ οὗτος ἐστὶν ὁ καθή-
μενος καὶ προσαιτῶν. ἄλλοι ἔλεγον ὅτι οὗ-
τος ἐστίν. ἄλλοι δὲ ὅτι ὅμοιος αὐτῷ ἐστίν.
ἐκεῖνος ἔλεγεν ὅτι ἐγώ εἰμι. ἔλεγον οὖν αὐ-
τῷ. πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί.
ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν. ἄνθρωπος λεγό-
μενος ἰησοῦς πηλὸν ἐποίησε, καὶ ἐπέχρισε
μου τοὺς ὀφθαλμούς, καὶ εἶπέ μοι ὕπαγε
εἰς τὴν κολυμβήθραν τοῦ σιλωάμ καὶ νί-
ψαι, ἀπελθὼν δὲ καὶ νιψάμενος ἀνέβλεψα.
εἶπον οὖν αὐτῷ, ποῦ ἐστὶν ἐκεῖνος. λέγει.
οὐκ οἶδα. ἄγουσιν αὐτὸν πρὸς τοὺς φαρι-
σαίους τόν ποτε τυφλόν. ἦν δὲ σάββατον
ὅτε τὸν πηλὸν ἐποίησεν ὁ ἰησοῦς, καὶ ἀνέῳ-
ξεν αὐτοῦ τοὺς ὀφθαλμούς. πάλιν οὖν ἠ-
ρώτων αὐτὸν καὶ οἱ φαρισαῖοι πῶς ἀνέβλε-
ψεν. ὁ δὲ εἶπεν αὐτοῖς. πηλὸν ἐπέθηκέ μοι
ἐπὶ τοὺς ὀφθαλμούς, καὶ ἐνιψάμην καὶ βλέ-
πω. ἔλεγον οὖν ἐκ τῶν φαρισαίων τινές. οὗ-
τος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ θεοῦ, ὅ-
τι τὸ σάββατον οὐ τηρεῖ. ἄλλοι ἔλεγον.
πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦ-
τα σημεῖα ποιεῖν. καὶ σχίσμα ἦν ἐν αὐτοῖς.
λέγουσι οὖν τῷ τυφλῷ πάλιν. σὺ τί λέ-
γεις περὶ αὐτοῦ ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλ-
μούς. ὁ δὲ εἶπεν, ὅτι προφήτης ἐστίν. οὐκ ἐ-
πίστευσαν οὖν οἱ ἰουδαῖοι περὶ αὐτοῦ ὅτι
τυφλὸς ἦν καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώ-
νησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαν-
τος, καὶ ἠρώτησαν αὐτοὺς λέγοντες. οὗτος
ἐστὶν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυ-
φλὸς ἐγεννήθη, πῶς οὖν ἄρτι βλέπει. ἀπε-
κρίθησαν δὲ αὐτοῖς οἱ γονεῖς αὐτοῦ καὶ εἶ-

exiuit de templo.
Cap. 9.
Et preteriens ieſus vidit hominem cecum A
a natiuitate: et interrogauerunt eum di-
ſcipuli eius dicentes. Rabbi quis peccauit:
hic aut parentes eius vt cecus naſceretur.
Reſpondit ieſus. Neque hic peccauit
neque parentes eius: ſed vt manifeſtentur
opera dei in illo. Me oportet operari
opera eius qui miſit me donec dies
eſt: venit nox quando nemo poteſt opera-
ri. Quamdiu ſum in mundo lux ſum
mundi. Hec cum dixiſſet expuit in terram:
et fecit lutum ex ſputo et
liniuit lutum ſuper oculos
eius: et dixit ei. Vade laua
in natatoria ſyloe quod interpretatur
miſſus. Abijt ergo et lauit
et venit videns. Itaque vicini et
qui viderant eum prius quia mendicus
erat: dicebant. Nonne hic eſt qui ſede-
bat et mendicabat? Alij dicebant quia hic
eſt: alij autem nequaquam: ſed ſimilis eſt ei.
Ille vero dicebat quia ego ſum. Dicebant er-
go ei. Quomodo aperti ſunt tibi oculi.
Reſpondit. Ille homo qui dicitur
ieſus lutum fecit et vnxit
oculos meos: et dixit mihi. Vade
ad natatoriam ſyloe et laua:
et abij et laui: et video.
Et dixerunt ei. Vbi eſt ille? Ait:
neſcio. Adducunt eum ad phariſeos qui B
cecus fuerat. Erat autem ſabbatum
quando lutum fecit ieſus et aperuit
oculos eius. Iterum ergo interrogabant
eum phariſei quomodo vidiſſet.
Ille autem dixit eis. Lutum mihi poſuit
ſuper oculos et laui et video.
Dicebant ergo ex phariſeis quidam:
non eſt hic homo a deo qui
ſabbatum non cuſtodit. Alij autem dicebant.
Quomodo poteſt homo peccator hec
ſigna facere? Et ſciſma erat inter eos.
Dicunt ergo ceco iterum. Tu quid dicis
de illo qui aperuit oculos tuos?
Ille autem dixit: quia propheta eſt. Non credi-
derunt ergo iudei de illo: quia
cecus fuiſſet et vidiſſet: donec vocauerunt
parentes eius qui viderat:
et interrogauerunt eos dicentes. Hic
eſt filius veſter quem vos dicitis quia cecus
natus eſt. Quomodo ergo nunc videt? Reſpon-
derunt eis parentes eius et dixerunt.

© Biblioteca Nacional de España

πον. οἴδαμεν ὅτι οὗτος ἐστὶν ὁ υἱὸς ἡμῶν,
καὶ ὅτι τυφλὸς ἐγεννήθη. πῶς δὲ νῦν βλέ
A πει οὐκ οἴδαμεν, ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς
ὀφθαλμοὺς ἡμεῖς οὐκ οἴδαμεν. αὐτὸς ἡλι=
κίαν ἔχει. αὐτὸν ἐρωτήσατε, αὐτὸς περὶ ἑ
αυτοῦ λαλήσει. ταῦτα εἶπον οἱ γονεῖς αὐ
τοῦ, ὅτι ἐφοβοῦντο τοὺς ἰουδαίους. ἤ=
δη γὰρ συνετέθειντο οἱ ἰουδαῖοι, ἵνα ἐὰν
τις αὐτὸν ὁμολογήσῃ χριστὸν ἀποσυνά=
γωγος γένηται. διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ
εἶπον ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε.
ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρω=
πον ὃς ἦν τυφλός, καὶ εἶπον αὐτῷ. δὸς
δόξαν τῷ θεῷ. ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄν=
θρωπος οὗτος ἁμαρτωλός ἐστιν. ἀπεκρίθη
οὖν ἐκεῖνος καὶ εἶπεν. εἰ ἁμαρτωλός ἐσ
τὶν οὐκ οἶδα, ἓν οἶδα, ὅτι τυφλὸς ὢν
ἄρτι βλέπω. εἶπον δὲ αὐτῷ πάλιν. τί
ἐποίησέ σοι. πῶς ἀνέῳξέ σου τοὺς ὀφ=
θαλμούς. ἀπεκρίθη αὐτοῖς. εἶπον ὑμῖν ἤδη
καὶ οὐκ ἠκούσατε, τί πάλιν θέλετε ἀκούειν.
μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσ=
θαι. ἐλοιδόρησαν αὐτὸν καὶ εἶπον. σὺ εἶ μα
θητὴς ἐκείνου, ἡμεῖς δὲ τοῦ μωσέως ἐσμὲν
μαθηταί. ἡμεῖς οἴδαμεν ὅτι μωσεῖ λελάλη
κεν ὁ θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν
ἐστί. ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς.
ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς
οὐκ οἴδατε πόθεν ἐστί, καὶ ἀνέῳξέ μου τοὺς
ὀφθαλμούς. οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν
ὁ θεὸς οὐκ ἀκούει, ἀλλ᾽ ἐάν τις θεοσεβὴς ᾖ
B καὶ τὸ θέλημα αὐτοῦ ποιῇ τούτου ἀκούει.
ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις
ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. εἰ μὴ ἦν
οὗτος παρὰ θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐ=
δέν. ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ. ἐν ἁμαρ=
τίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσ=
κεις ἡμᾶς. καὶ ἐξέβαλον αὐτὸν ἔξω. ἤκου=
σεν ὁ ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ
εὑρὼν αὐτὸν εἶπεν αὐτῷ. σὺ πιστεύεις
εἰς τὸν υἱὸν τοῦ θεοῦ. ἀπεκρίθη ἐκεῖνος
καὶ εἶπε. καὶ τίς ἐστι, κύριε, ἵνα πιστεύσω
εἰς αὐτόν. εἶπε δὲ αὐτῷ ὁ ἰησοῦς. καὶ ἑώρα
κας αὐτόν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνος
ἐστίν. ὁ δὲ ἔφη. πιστεύω κύριε. καὶ προσε
κύνησεν αὐτῷ. καὶ εἶπεν ὁ ἰησοῦς. εἰς κρί
μα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα
οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέ=
ποντες τυφλοὶ γένωνται. καὶ ἤκουσαν=
ἐκ τῶν φαρισαίων ταῦτα οἱ ὄντες μετ
αὐτοῦ, καὶ εἶπον αὐτῷ. μὴ καὶ ὑ=
μεῖς τυφλοί ἐσμεν. εἶπεν αὐτοῖς ὁ ἰη=

Scimus quia hic est filius noster:
et quia cecus natus est. Quomodo autem nunc vide
at nescimus: aut quis eius aperuit
oculos nos nescimus.
Ipsum interrogate. Etatem habet: ipse de se
loquatur. Hec dixerunt parentes eius:
quoniam timebant iudeos. Jam C
enim conspirauerant iudei: ut si
quis eum confiteretur esse christum: extra synago
gam fieret. Propterea parentes eius
dixerunt: quia etatem habet: ipsum interro=
gate. Vocauerunt ergo rursum hominem
qui fuerat cecus: et dixerunt ei. Da
gloriam deo. Nos scimus quia hic homo
peccator est. Dixit
ergo eis ille. Si peccator est
nescio: vnum scio quia cecus cum essem
modo video. Dixerunt ergo illi. Quid
fecit tibi? Quomodo aperuit tibi oculos?
Respondit eis. Dixi vobis iam
et audistis. Quid iterum vultis audire?
Nunquid et vos vultis discipuli eius fieri?
Maledixerunt ergo ei: et dixerunt. Tu disci
pulus illius sis: nos autem moysi
discipuli sumus. Nos scimus quia moysi lo-
cutus est deus: hunc autem nescimus vnde
sit. Respondit ille homo: et dixit eis.
In hoc enim mirabile est: quia vos
nescitis vnde sit: et aperuit meos
oculos. Scimus autem quia peccatores
deus non audit: sed si quis dei cultor est:
et voluntatem eius facit: hunc exaudit.
A seculo non est auditum: quia quis aperuit D
oculos ceci nati. Nisi esset
hic a deo: non poterat facere quicquam.
Responderunt et dixerunt ei. In pecca
tis natus es totus: et tu doces
nos. Et eiecerunt eum foras. Audiuit
iesus quia eiecerunt eum foras: et
cum inuenisset eum dixit ei. Tu credis
in filium dei. Respondit ille
et dixit. Quis est domine vt credam
in eum? Et dixit ei iesus. Et vidisti
eum: et qui loquitur tecum ipse
est. At ille ait. Credo domine. Et procidens
adorauit eum. Et dixit ei iesus. In iudi=
cium ego in hunc mundum veni: vt
qui non vident videant: et qui vident
ceci fiant. Et audierunt quidam
ex phariseis qui cum
ipso erant: et dixerunt ei. Nunquid et nos
ceci sumus. Dixit eis iesus.

© Biblioteca Nacional de España

σούς. ει τυφλοί ήτε, ουκ αν είχετε αμαρ
τίαν. νυν δε λέγετε ότι βλέπομεν, η ουν α
μαρτία υμών μένει. Cap.10.
Αμήν αμήν λέγω υμίν, ο μη εισερχό
μενος διά της θύρας εις την αυλήν
των προβάτων, αλλά αναβαίνων αλλα-
χόθεν, εκείνος κλέπτης εστί και λῃστής. ο
δε εισερχόμενος διά της θύρας, ποιμήν
εστί των προβάτων. τούτω ο θυρωρός α-
νοίγει, και τα πρόβατα της φωνής αυ-
τού ακούει. και τα ίδια πρόβατα καλεί
κατ' όνομα, και εξάγει αυτά. και όταν
τα ίδια πρόβατα εκβάλῃ, έμπροσθεν αυ-
τών πορεύεται, και τα πρόβατα αυτώ α-
κολουθεί, ότι οίδασι την φωνήν αυτού.
αλλοτρίω δε ου μη ακολουθήσωσιν, αλ-
λά φεύξονται απ' αυτού, ότι ουκ οίδα-
σι των αλλοτρίων την φωνήν. Ταύτην την
παροιμίαν είπεν αυτοίς ο ιησούς. εκεί-
νοι δε ουκ έγνωσαν τίνα ην α ελάλει αυ
τοίς. είπεν ουν πάλιν αυτοίς ο ιησούς.
αμήν αμήν λέγω υμίν, ότι εγώ ειμί η
θύρα των προβάτων. πάντες όσοι ήλ-
θον κλέπται εισί και λῃσταί, αλλ' ουκ ή
κουσαν αυτών τα πρόβατα. εγώ ειμί η
θύρα, δι' εμού εάν τις εισέλθῃ σωθήσεται,
και εισελεύσεται και εξελεύσεται, και νο
μήν ευρήσει. ο κλέπτης ουκ έρχεται, ει μή
ίνα κλέψῃ και θύσῃ και απολέσῃ. εγώ ήλ
θον ίνα ζωήν έχωσι, και περισσόν έχωσιν.
εγώ ειμί ο ποιμήν ο καλός. ο ποιμήν ο κα
λός την ψυχήν αυτού τίθησιν υπέρ των
προβάτων. ο μισθωτός δε και ουχ ων ποι
μήν, ου ουκ εισί τα πρόβατα ίδια, θεωρεί
τον λύκον ερχόμενον, και αφίησι τα πρό-
βατα και φεύγει, και ο λύκος αρπάζει αυ
τά και σκορπίζει τα πρόβατα. ο δε μισθω
τός φεύγει, ότι μισθωτός εστί, και ου μέλει
αυτώ περί των προβάτων. εγώ ειμί ο ποι
μήν ο καλός, και γινώσκω τα εμά, και γι-
νώσκομαι υπό των εμών. καθώς γινώσκει με
ο πατήρ καγώ γινώσκω τον πατέρα, και
την ψυχήν μου τίθημι υπέρ των προβάτων.
και άλλα πρόβατα έχω, α ουκ έστιν εκ
της αυλής ταύτης, κακείνα με δει αγα-
γείν, και της φωνής μου ακούσουσι, και
γενήσεται μία ποίμνη, εις ποιμήν. διά
τούτο ο πατήρ με αγαπά, ότι εγώ τί
θημι την ψυχήν μου, ίνα πάλιν λάβω
αυτήν. ουδείς αίρει αυτήν απ' εμού, αλλ'
εγώ τίθημι αυτήν απ' εμαυτού. εξουσίαν
έχω θείναι αυτήν, και εξουσίαν έχω πάλιν
λαβείν αυτήν. ταύτην την εντολήν έλαβον

Si ceci eſſetis non haberetis peccatū.
Nunc vero dicitis quia videmꝰ: pctm̄
veſtrum manet. Cap.10.
Amen amen dico vobis: qui nō in A
trat per oſtium in ouile
ouium: ſed aſcendit aliunde:
ille fur eſt et latro.
Qui aūt intrat per oſtium: paſtor
eſt ouium. Huic oſtiarius aperit:
⁊ oues vocem eius
audiūt. Et ꝓprias oues vocat
nominatim: et educit eas. Et cum
proprias oues emiſerit: ante eas
vadit: et oues illum ſequuntur:
quia ſciunt vocem eius.
Alienum autem non ſequūtur ſed
effugiunt ab eo: quia non nouerunt
vocem alienorum. Hoc
prouerbium dixit eis ieſus. Illi
autem non cognouerūt quid loqret eis.
Dixit ergo eis iterum ieſus.
Amen amen dico vobis quia ego ſuꝫ
oſtium ouiuꝫ. Omnes quotquot venerūt
fures ſunt ⁊ latrones: ſed nō audierūt
eos oues. Ego ſum
oſtiū: per me ſi quis introierit ſaluabit
et ingredietur et egredietur: et paſcua
inueniet. Fur non venit niſi
vt furetur ⁊ mactet et ꝑdat. Ego veni B
vt vitam habeāt: et abūdantiꝰ habeāt.
Ego ſum paſtor bonus: bonus paſtor 1.Cor.9.c.
animam ſuam ponit pro 1.Joh.3.c.
ouibꝰ ſuis. Mercēnariꝰ āt ⁊ q̄ nō ē pa
ſtor cuius non ſunt oues proprie: videt
lupum venientem et dimittit oues
et fugit: et lupus rapit
et diſpergit oues. Mercēnarius autem Mat.8.g.
fugit quia mercēnarius eſt: ⁊ nō ꝑtinet Mar.5.b.
ad eum de ouibus. Ego ſum paſtor Luce.8.c.
bonꝰ: ⁊ cognoſco oues meas ⁊ cogno Mat.11.g.
ſcunt me mee. Sicut nouit me Luce.10.f.
pater: et ego agnoſco patrem: et Mat.11.b.
animam meam pono pro ouibus meis.
Et alias oues habeo que non ſunt ex
hoc ouili: ⁊ illas oportet me adducere
et vocem meam audient: et
fiet vnū ouile ⁊ vnꝰ paſtor. Propterea
me diligit pater: quia ego pono
animam meam vt iterum ſumam
eam. Nemo tollet eam a me: ſed
ego ponā eam a meipſo. Poteſtatem
habeo ponendi eam: et ptātē hēo iterū
ſumendi eam. Hoc mandatum accepi

© Biblioteca Nacional de España

παρά τοῦ πατρός μου. σχίσμα οὖν πά-
λιν ἐγένετο ἐν τοῖς ἰουδαίοις διὰ τοὺς λό
γους τούτους. ἔλεγον δὲ πολλοί ἐξ αὐ-
τῶν. δαιμόνιον ἔχει καὶ μαίνεται. τί αὐτοῦ
ἀκούετε. ἄλλοι ἔλεγον. ταῦτα τὰ ῥήματα
οὐκ ἐστί δαιμονιζομένου. μὴ δαιμόνιον
δύναται τυφλῶν ὀφθαλμούς ἀνοίγειν. ἐγέ
νετο δὲ τὰ ἐγκαίνια ἐν ἱεροσολύμοις, καὶ χει
μὼν ἦν. καὶ περιεπάτει ὁ ἰησοῦς ἐν τῷ ἱερῷ
ἐν τῇ στοᾷ σολομῶνος. ἐκύκλωσαν οὖν
αὐτὸν οἱ ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ. ἕως
πότε τὴν ψυχὴν ἡμῶν αἴρεις. εἰ σὺ εἶ ὁ
χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ. ἀπεκρίθη αὐ
τοῖς ὁ ἰησοῦς. εἶπον ὑμῖν καὶ οὐ πιστεύε-
τε. τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ
πατρός μου, ταῦτα μαρτυρεῖ περί ἐμοῦ
ἀλλ᾽ ὑμεῖς οὐ πιστεύετε. οὐ γάρ ἐστέ ἐκ
τῶν προβάτων τῶν ἐμῶν καθὼς εἶπον ὑ-
μῖν. τὰ πρόβατα τὰ ἐμά τῆς φωνῆς μου ἀ-
κούει, κἀγὼ γινώσκω αὐτά καὶ ἀκολουθοῦ
σί μοι. κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς,
καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ
οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου. ὁ
πατήρ μου ὃς δέδωκέ μοι, μείζων πάντων
ἐστί, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς
χειρός τοῦ πατρός μου. ἐγὼ καὶ ὁ πατὴρ
ἕν ἐσμέν. ἐβάστασαν οὖν πάλιν λίθους οἱ
ἰουδαῖοι ἵνα λιθάσωσιν αὐτόν. ἀπεκρίθη αὐ
τοῖς ὁ ἰησοῦς. πολλὰ καλά ἔργα ἔδειξα ὑ
μῖν ἐκ τοῦ πατρός μου, διά ποῖον αὐτῶν
ἔργον λιθάζετέ με. ἀπεκρίθησαν αὐτῷ οἱ ἰου
δαῖοι λέγοντες. περί καλοῦ ἔργου οὐ λι-
θάζομέν σε, ἀλλὰ περί βλασφημίας, καὶ ὅ
τι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν. ἀ-
πεκρίθη αὐτοῖς ὁ ἰησοῦς. οὐκ ἐστὶ γεγραμ-
μένον ἐν τῷ νόμῳ ὑμῶν. ἐγὼ εἶπα θεοί ἐσ-
τέ. εἰ ἐκείνους εἶπε θεούς πρὸς οὓς ὁ λόγος
τοῦ θεοῦ ἐγένετο καὶ οὐ δύναται λυθῆναι ἡ
γραφή, ὃν ὁ πατὴρ ἡγίασε καὶ ἀπέστειλεν
εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι βλασφη-
μεῖς, ὅτι εἶπον υἱός τοῦ θεοῦ εἰμί. εἰ οὐ ποι
ῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετε
μοι. εἰ δὲ ποιῶ, κἂν ἐμοί μὴ πιστεύητε, τοῖς
ἔργοις πιστεύσατε, ἵνα γνῶτε καὶ πιστεύση
τε ὅτι ἐν ἐμοί ὁ πατὴρ κἀγὼ ἐν αὐτῷ. ἐζή-
τουν οὖν πάλιν αὐτὸν πιάσαι. καὶ ἐξῆλθεν ἐκ
τῆς χειρός αὐτῶν. καὶ ἀπῆλθε πάλιν πέραν
τοῦ ἰορδάνου εἰς τὸν τόπον ὅπου ἦν ἰω-
άννης τὸ πρῶτον βαπτίζων, καὶ ἔμεινεν ἐ-
κεῖ. καὶ πολλοί ἦλθον πρὸς αὐτὸν καὶ
ἔλεγον. ὅτι ἰωάννης μὲν σημεῖον ἐποίη-
σεν οὐδέν. πάντα δὲ ὅσα εἶπεν ἰωάννης πε-

a patre meo. Diſſenſio iterum
facta eſt inter iudeos ꝓpter ſermones
hos. Dicebant aũt multi ex ipſis.
Demoniũ habet et inſanit. Quid eum C
auditis? Alij dicebant: hec verba
nõ ſunt demoniũ habẽtis. Nũquid de-
moniũ põt cecoꝝ oculos aperire? Facta
ſũt aũt encenia i hieroſolymis: ꝛ hiems
erat. Et ambulabat ieſus in templo
i porticu ſalomonis. Circũdederũt ergo
eum iudei: et dicebant ei. Quouſq;
animam noſtram tollis? Si tu es
chriſtus dic nobis palam? Rñdit eis
ieſus. Loquor vobis et non creditis.
Opera que ego facio in nomine
pr̃is mei: hec teſtimoniũ ꝑhibẽt de me.
Sed vos non creditis quia nõ eſtis ex
ouibus meis ſicut dixi vobis.
Oues mee vocem meam audiunt:
et ego cognoſco eas et ſequuntur
me. Et ego vitam eternam do eis:
et non peribunt in eternum: et
non rapiet eas quiſq; de manu mea.
Pater meus qui dedit mihi maior oĩbus
eſt: et nemo poteſt rapere de
manu patris mei. Ego et pater
vnũ ſumus. Suſtulerũt ergo iteꝝ lapides
iudei vt lapidarent eũ. Reſpondit eis
ieſus. Multa bona opera oſtẽdi vobis
ex patre meo: ꝓpter quod eorum
opus me lapidatis? Rñderunt ei iudei
De bono opere non lapidamus D
te: ſed de blaſphemia et quia
tu homo cũ ſis facis teipſũ deũ. Rñ
dit eis ieſus. Nonne ſcriptum eſt
in lege veſtra quia ego dixi dij eſtis? ps.81.
Si illos dixit deos ad quos ſermo
dei factus eſt: et non poteſt ſolui
ſcriptura: quẽ pater ſãctificauit ꝛ miſit
in mundum vos dicitis q: blaſphemas
quia dixi filius dei ſum. Si non facio
opera patris mei nolite credere
mihi. Si aũt facio ꝛ ſi mihi nõ vultis cre
dere opibus credite: vt cognoſcatis ꝛ cre
datis q: pr̃ i me eſt: ꝛ ego i patre. Que Mat.12.b.
rebãt ergo eũ apprehẽdere: et exiuit de Mar.5.b.
manibus eorum. Et abijt iterũ trans
iordanem in eum locũ vbi erat iohãnes
baptizans primum: ꝛ manſit illic.
Et multi venerunt ad eum et
dicebãt. Quia iohãnes quidẽ ſignũ fecit
nullũ. Omnia aũt quecũq; dixit iohãnes de

© Biblioteca Nacional de España

ρὶ τούτου ἀληθῆ ἦν. καὶ ἐπίστευσαν πολ-
λοὶ ἐκεῖ εἰς αὐτόν. Cap. 11.

Ἦν δέ τις ἀσθενῶν λάζαρος ἀπὸ βηθανί-
ας, ἐκ τῆς κώμης μαρίας καὶ μάρθας
τῆς ἀδελφῆς αὐτῆς. ἦν δὲ μαρία ἡ ἀλείψα-
σα τὸν κύριον μύρῳ, καὶ ἐκμάξασα τοὺς πό-
δας αὐτοῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς
λάζαρος ἠσθένει. ἀπέστειλαν οὖν αἱ ἀδελ-
φαὶ πρὸς αὐτὸν λέγουσαι. κύριε, ἴδε ὃν φι-
λεῖς ἀσθενεῖ. ἀκούσας δὲ ὁ ἰησοῦς εἶπεν· αὕ-
τη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ'
ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἵνα δοξασθῇ ὁ υἱ-
ὸς τοῦ θεοῦ δι' αὐτῆς. ἠγάπα δὲ ὁ ἰησοῦς
τὴν μάρθαν, καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν
λάζαρον. ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τό-
τε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας.
ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς αὐ-
τοῦ. ἄγωμεν εἰς τὴν ἰουδαίαν πάλιν. λέγου-
σιν αὐτῷ οἱ μαθηταί. ῥαββί, νῦν ἐζήτουν σε
λιθάσαι οἱ ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ.
ἀπεκρίθη ἰησοῦς. οὐχὶ δώδεκα ὧραι εἰσὶ τῆς
ἡμέρας. ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ
προσκόπτει ὅτι τὸ φῶς τοῦ κόσμου τού-
του βλέπει. ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκ-
τί, προσκόπτει ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐ-
τῷ. ταῦτα εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐ-
τοῖς. λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται,
ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. εἶ-
πον οὖν οἱ μαθηταὶ αὐτοῦ. κύριε, εἰ κεκοίμη-
ται σωθήσεται. εἰρήκει δὲ ὁ ἰησοῦς περὶ τοῦ
θανάτου αὐτοῦ, ἐκεῖνοι δὲ ἔδοξαν ὅτι πε-
ρὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει. τότε οὖν
εἶπεν αὐτοῖς ὁ ἰησοῦς παρρησίᾳ. λάζαρος ἀ-
πέθανε, καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε ὅ-
τι οὐκ ἤμην ἐκεῖ. ἀλλὰ ἄγωμεν πρὸς αὐτόν.
εἶπεν οὖν θωμᾶς ὁ λεγόμενος δίδυμος
τοῖς συμμαθηταῖς. ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀπο-
θάνωμεν μετ' αὐτοῦ. ἐλθὼν οὖν ὁ ἰησοῦς
εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα
ἐν τῷ μνημείῳ. ἦν δὲ ἡ βηθανία ἐγγὺς τῶν
ἱεροσολύμων ὡς ἀπὸ σταδίων δεκα-
πέντε. καὶ πολλοὶ ἐκ τῶν ἰουδαίων ἐ-
ληλύθεισαν πρὸς τὰς περὶ τὴν μάρθαν καὶ
μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς πε-
ρὶ τοῦ ἀδελφοῦ αὐτῶν. ἡ οὖν μάρθα ὡς
ἤκουσεν ὅτι ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐ-
τῷ, μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. εἶπεν
οὖν ἡ μάρθα πρὸς τὸν ἰησοῦν. κύριε εἰ ἦς
ὧδε ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει. ἀλ-
λὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεὸν
δώσει σοι ὁ θεός. λέγει αὐτῇ ὁ ἰησοῦς. ἀ-
ναστήσεται ὁ ἀδελφός σου. λέγει αὐτῷ

hoc vera erant: et multi crediderunt
in eum. Cap. 11.

Erat aũt qdã languẽs lazarꝰ a be- A
thãia: de castello marie et marthe
sororis eius. Maria aũt erat que vnxit
dominum vnguento et extersit pedes
eiꝰ capillis suis: cuius frater
lazarꝰ infirmabat. Miserũt ergo sorores
eiꝰ ad eũ dicẽtes. Dñe ecce quẽ amas
infirmat. Audiens aũt iesus dixit eis.
Infirmitas hec non est ad mortẽ: sed
pro gloria dei: vt glorificetur filius
dei per eam. Diligebat autem iesus
martham et sororẽ eius mariam et lazarũ. Ut ergo audiuit qꝫ infirmabat
quidẽ mãsit in eodẽ loco duobꝰ diebꝰ.
Deinde post hec dicit discipulis suis.
Eamus in iudeam iterum. Dicunt
ei discipuli. Rabbi nunc querebant te B
iudei lapidare: et iterum vadis illuc?
Rñdit iesus. Nõne duodecim sũt hore
diei? Si quis ambulauerit in die: nõ
offendit quia lucem huius mundi
videt. Si autẽ ambulauerit in nocte
offendit: quia lux non est in eo.
Hec ait: et post hec dicit eis.
Lazarus amicus noster dormit
sed vado vt a somno excitẽ eũ. Dixerũt Mar. 9. c.
ergo discipuli eius. Domine si dormit Mar. 5. b.
saluus erit. Dixerat autem iesus de
morte eius: illi autẽ putauerũt qꝫ de
dormitione somni diceret. Tunc ergo
iesꝰ dixit eis manifeste. Lazarꝰ mortuꝰ
est: et gaudeo propter vos vt credatis
qm̃ non erã ibi. Sed eamus ad eum.
Dixit ergo thomas qui dr̃ didymꝰ ad
cõdiscipulos. Eamus et nos et moria-
mur cum eo. Uenit itaqꝫ iesus: et C
inuenit eum quattuor dies iam iuxta
in monumẽto habẽtẽ. Erat ãt bethania
hierosolymam quasi stadijs quindecim.
Multi autem ex iudeis venerant
ad martham et
mariam vt consolarẽtur eas de
fratre suo. Martha ergo vt
audiuit quia iesus venit occurrit illi:
maria autem domi sedebat. Dixit
ergo martha ad iesum. Dñe si fuisses
hic frater meus nõ fuisset mortuꝰ. Sed
et nũc scio qꝫ quecũqꝫ poposceris a deo
dabit tibi deꝰ. Dicit illi iesus. Resur-
get frater tuus. Dicit ei

© Biblioteca Nacional de España

ἡ μάρθα. οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστά-
σει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. εἶπεν αὐτῇ ὁ ἰη-
σοῦς. ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. ὁ πι-
A στεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ ζήσεται. καὶ
πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀ-
ποθάνῃ εἰς τὸν αἰῶνα. πιστεύεις τοῦτο. λέ-
γει αὐτῷ. ναὶ κύριε. ἐγὼ πεπίστευκα ὅτι
σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν
κόσμον ἐρχόμενος. καὶ ταῦτα εἰποῦσα ἀ-
πῆλθε καὶ ἐφώνησε μαρίαν τὴν ἀδελφὴν αὐ-
τῆς λάθρα εἰποῦσα. ὁ διδάσκαλος πάρεσ-
τι καὶ φωνεῖ σε. ἐκείνη ὡς ἤκουσεν ἐγείρεται
ταχὺ καὶ ἔρχεται πρὸς αὐτόν. οὔπω δὲ ἐ-
ληλύθει ὁ ἰησοῦς εἰς τὴν κώμην, ἀλλ ἦν ἐν
τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ μάρθα.
οἱ οὖν ἰουδαῖοι οἱ ὄντες μετ αὐτῆς ἐν τῇ οἰ-
κίᾳ καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν
μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠ-
κολούθησαν αὐτῇ λέγοντες. ὅτι ὑπάγει εἰς
τὸ μνημεῖον ἵνα κλαύσῃ ἐκεῖ. ἡ οὖν μαρία
B ὡς ἦλθεν ὅπου ἦν ὁ ἰησοῦς, ἰδοῦσα αὐτόν
ἔπεσεν αὐτοῦ εἰς τοὺς πόδας λέγουσα αὐ-
τῷ. κύριε εἰ ἧς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ
ἀδελφός. ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαί-
ουσαν καὶ τοὺς συνελθόντας αὐτῇ ἰουδαί-
ους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι,
καὶ ἐτάραξεν ἑαυτόν, καὶ εἶπε. ποῦ τεθεί-
κατε αὐτόν. λέγουσιν αὐτῷ. κύριε ἔρχου
.9.c. .5.b. καὶ ἴδε. ἐδάκρυσεν ὁ ἰησοῦς. ἔλεγον οὖν οἱ
ἰουδαῖοι. ἴδε πῶς ἐφίλει αὐτόν. τινὲς δὲ
ἐξ αὐτῶν εἶπον. οὐκ ἠδύνατο οὗτος ὁ ἀνοί-
ξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ποιῆσαι
ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ. ἰησοῦς οὖν πά-
λιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ
μνημεῖον. ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκει-
το ἐπ αὐτῷ. λέγει ὁ ἰησοῦς. ἄρατε τὸν λί-
θον. λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος
μάρθα. κύριε ἤδη ὄζει, τεταρταῖος γάρ ἐσ-
C τι. λέγει αὐτῇ ὁ ἰησοῦς. οὐκ εἶπόν σοι ὅτι ἐ-
ὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ θεοῦ. ἦ-
ραν οὖν τὸν λίθον οὗ ἦν ὁ τεθνηκὼς κείμενος.
ὁ δὲ ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ
εἶπε. πάτερ εὐχαριστῶ σοι ὅτι ἤκουσάς
μου. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκού-
εις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶ-
πον ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας.
καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγασε.
λάζαρε δεῦρο ἔξω. καὶ ἐξῆλθεν ὁ τεθνηκὼς
δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρί-
αις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο
λέγει αὐτοῖς ὁ ἰησοῦς. λύσατε αὐτὸν καὶ ἄ-
φετε ὑπάγειν. πολλοὶ οὖν ἐκ τῶν ἰουδαίων
οἱ ἐλθόντες πρὸς τὴν μαρίαν, καὶ θεασάμενοι

martha. Scio quia reſurget in reſurre-
ctione in nouiſſimo die. Dicit ei ieſus.
Ego ſuꝫ reſurrectio ⁊ vita. Qui credit
in me: etiam ſi mortuus fuerit viuet: ⁊
omnis q̄ viuit et credit in me: nō mo-
rietur in eternum. Credis hoc? Ait
illi. Utiqꝫ domine. Ego credidi quia Roma.10.b
tu es chriſtus filius dei viui qui in hunc D
mundū veniſti. Et cuꝫ hoc dixiſſet abijt
et vocauit mariam ſororem ſuam
ſilentio dicens. Magiſter adeſt:
et vocat te. Illa vt audiuit ſurrexit
cito: ⁊ venit ad eū. Nōdū enī venerat
ieſus in caſtellum: ſed erat adhuc in illo
loco vbi occurrerat ei martha.
Judei ergo qui erāt cum ea in domo
et conſolabantur eam: cum vidiſſent
mariā q2 cito ſurrexit ⁊ exijt: ſecuti ſunt
eam dicentes. Quia vadit ad
monumentū vt ploret ibi. Maria ergo
cum veniſſet vbi erat ieſus: vidēs euꝫ
cecidit ad pedes eius: et dixit ei.
Dñe ſi fuiſſes hic: non eſſet mortuus
frater me9. Jeſus ergo vt vidit eā plo-
rantem et iudeos qui venerant cum ea
plorantes: infremuit ſpiritu
⁊ turbauit ſeipm: ⁊ dixit. Ubi poſuiſtis
eum? Dicunt ei. Domine veni ergo
⁊ vide. Et lachrimat' eſt ieſus. Dixerūt E
iudei. Ecce quō amabat eū. Quidā āt
ex ipſis dixerūt. Nō poterat hic qui ape-
ruit oculos ceci nati facere
vt hic non moreretur? Jeſus ergo rur-
ſum fremens in ſemetipō venit ad
monumētū. Erat āt ſpelūca ⁊ lapis ſup-
poſitus erat ei. Ait ieſus. Tollite lapi-
dē. Dicit ei martha ſoror ei9 q̄ mortu9
fuerat. Dñe iā fetet: ꝗtriduan9 ē eniꝫ.
Dicit ei ieſus. Nonne dixi tibi: qm̄ ſi
credideris videbis gliam dei? Tulerūt
ergo lapidem.
Jeſus autem eleuatis ſurſum oculis
dixit. Pater grās ago tibi: qm̄ audiſti
me. Ego āt ſciebā q2 ſemp me audis:
ſed ꝓpter populuꝫ qui circumſtat dixi:
vt credant quia tu me miſiſti.
Hec cū dixiſſet voce magna clamauit.
Lazare veni foras. Et ſtatī ꝓdijt q̄ fue-
rat mortu9 ligat9 man9 ⁊ pedes inſtitis
⁊ facies illius ſudario erat ligata.
Dixit eis ieſus. Soluite eum et ſinite F
abire. Multi ergo ex iudeis
q̄ venerāt ad mariā ⁊ marthā ⁊ viderāt

© Biblioteca Nacional de España

ὅσα ἐποίησεν ὁ ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς φαρισαίους, καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ ἰησοῦς. συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι συνέδριον, καὶ ἔλεγον. τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ. ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν. καὶ ἐλεύσονται οἱ ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος. εἷς δέ τις ἐξ αὐτῶν καϊάφας ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς. ὑμεῖς οὐκ οἴδατε οὐδὲν οὐδὲ διαλογίζεσθε, ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. τοῦτο δὲ ἀφ᾽ ἑαυτοῦ οὐκ εἶπεν. ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν, ὅτι ἔμελλεν ὁ ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους. καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ᾽ ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διασκορπισμένα συναγάγει εἰς ἕν. ἀπ᾽ ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν. ἰησοῦς οὖν οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου εἰς ἐφραὶμ λεγομένην πόλιν, κἀκεῖ διέτριβε μετὰ τῶν μαθητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. ἐζήτουν οὖν τὸν ἰησοῦν, καὶ ἔλεγον μετ᾽ ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες. τί δοκεῖ ὑμῖν ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν. δεδώκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι ἐντολήν, ἵνα ἐάν τις γνῷ ποῦ ἐστι μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.

Cap.12.

Ὁ οὖν ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς βηθανίαν, ὅπου ἦν λάζαρος ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ μάρθα διηκόνει, ὁ δὲ λάζαρος εἷς ἦν τῶν ἀνακειμένων σὺν αὐτῷ. ἡ οὖν μαρία λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ ἰησοῦ, καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ. ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ ἰούδας σίμωνος ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδόναι. διατί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς. εἶπε δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελλεν αὐτῷ, ἀλλ᾽ ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβά

que fecit ieſus: crediderunt in eum. Quidam aūt ex ipſis abierunt ad phariſeos ⁊ dixerunt eis que fecit ieſus. Collegerunt ergo pontifices et phariſei cōciliū: ⁊ dicebāt. Quid facimus? quia hic homo multa ſigna facit. Si dimittimus eum ſic omnes credent in eum. Et venient romani: et tollent noſtrum locum ⁊ gentē. Un9 āt ex ipſis caiphas noīe: cum eſſet pontifex anni illius: dixit eis. Vos neſcitis quicq̄ nec cogitatis: quia expedit nobis vt vnus moriatur homo pro populo ⁊ nō tota gens pereat. Hoc autem a ſemetipſo B
non dixit. ſed cum eſſet pontifex anni illius ꝓphetauit: q᷑ ieſus moritur9 erat pro gente. Et non tantum pro gente ſed vt filios dei qui erāt diſperſi congregaret in vnum. Ab illo ergo die Mat.11.b.
cogitauerunt vt interficerent eum. Mar.3.b.
Jeſus ergo iā nō palā ambulabat apd̄ iudeos: ſed abijt inde in regionem iuxta deſertum in ciuitatē q̄ dicit̄ effrē: ⁊ ibi morabat̄ cū diſciplis ſuis. Proximū āt erat paſcha Mat.26.a.
iudeorum ⁊ aſcenderūt multi hieroſoly Mar.11.a.
mam de regione ante paſcha: Luce.14.a.
vt ſāctificarēt ſeipſos. Querebāt ergo ieſum et colloquebant̄ ad inuicē in tēplo ſtantes. Quid putatis: q᷑ nō venit ad diē feſtum iſtum. Dederāt aūt pōtifices ⁊ phariſei mādatū vt ſi q̄s cognouerit vbi ſit indicet vt apprehendant eum.

Cap.12.

Jeſus ergo ante ſex dies paſche A
venit bethaniā vbi lazarus fuerat Mat.26.a.
mortuus quē ſuſcitauit ieſus. Mar.14.a.
Fecerunt aūt ei cenam ibi: ⁊ martha miniſtrabat: lazarus vero vnus erat ex diſcūbētib9 cū
eo. Maria ergo accepit librā vnguēti Mat.26.b.
nardi piſtici precioſi: et vnxit Mar.14.a.
pedes ieſu: et exterſit pedes ei9 capill' Luce.7.f.
ſuis: et dom9 impleta eſt ex odore vnguenti. Dixit ergo vnus ex diſcipulis eius iudas ſcariotis qui erat eum traditurus. Quare hoc vnguentum non venijt trecentis denarijs et datum eſt egenis? Dixit aūt hoc non quia de egenis pertinebat ad eum: ſed quia fur erat et loculos habēs ea q̄ mittebāt̄ portabat.

© Biblioteca Nacional de España

σταζεν. είπεν ούν ο ιησούς. άφες αύτήν, εις
την ημέραν του ενταφιασμού μου. τετήρη=
κεν αυτό. τους πτωχούς γαρ πάντοτε έχε=
τε μεθ εαυτών, εμέ δε ου πάντοτε έχετε.
έγνω ούν όχλος πολύς εκ των ιουδαίων
ότι εκεί εστί, και ήλθον ου διά τον ιησούν
μόνον, αλλ ίνα και τον λάζαρον ίδωσιν ον
ήγειρεν εκ νεκρών. εβουλεύσαντο δε οι αρ=
χιερείς ίνα και τον λάζαρον αποκτείνωσιν,
ότι πολλοί δι αυτόν υπήγον των ιουδαί=
ων, και επίστευον εις τον ιησούν. τη επαύριον
όχλος πολύς ο ελθών εις την εορτήν, α=
κούσαντες ότι έρχεται ο ιησούς εις ιεροσό=
λυμα, έλαβον τα βαΐα των φοινίκων, και
εξήλθον εις υπάντησιν αυτώ και έκραζον.
ωσαννά ευλογημένος ο ερχόμενος εν ονό=
ματι κυρίου βασιλεύς του ισραήλ. ευρών
δε ο ιησούς ονάριον εκάθησεν επ αυτώ, κα
θώς εστί γεγραμμένον. μη φοβού θύγατερ
σιών, ιδού ο βασιλεύς σου έρχεται καθήμε
νος επί πώλον όνου. ταύτα δε ουκ έγνω=
σαν οι μαθηταί αυτού το πρώτον, αλλ ό=
τε εδοξάσθη ο ιησούς τότε εμνήσθησαν ότι
ταύτα ην επ αυτώ γεγραμμένα. και ταύ=
τα εποίησαν αυτώ. εμαρτύρει ούν ο όχλος
ο ων μετ αυτού, ότε τον λάζαρον εφώνη=
σεν εκ του μνημείου, και ήγειρεν αυτόν εκ
νεκρών. διά τούτο και υπήντησεν αυτώ ο ό=
χλος, ότι ήκουσε τούτο αυτόν πεποιηκέναι
το σημείον. οι ούν φαρισαίοι είπον προς ε=
αυτούς. θεωρείτε ότι ουκ ωφελείτε ουδέν. ί
δε ο κόσμος οπίσω αυτού απήλθεν. ήσαν δε
τινές έλληνες εκ των αναβαινόντων ίνα
προσκυνήσωσιν εν τη εορτή. ούτοι ούν προ
σήλθον φιλίππω τω από βηθσαϊδά της γα=
λιλαίας, και ηρώτων αυτόν λέγοντες. κύριε
θέλομεν τον ιησούν ιδείν. έρχεται φίλιππος
και λέγει τω ανδρέα. και πάλιν ανδρέας
και φίλιππος λέγουσι τω ιησού. ο δε ιη=
σούς απεκρίνατο αυτοίς λέγων. ελήλυθεν
η ώρα ίνα δοξασθή ο υιός του ανθρώπου. α
μήν αμήν λέγω υμίν, εάν μη ο κόκκος του
σίτου πεσών εις την γην αποθάνη αυτός
μόνος μένει. εάν δε αποθάνη, πολύν καρ=
πόν φέρει. ο φιλών την ψυχήν αυτού απολέ
σει αυτήν. και ο μισών την ψυχήν αυτού
εν τω κόσμω τούτω, εις ζωήν αιώνιον φυ
λάξει αυτήν. εάν εμοί διακονή τις, εμοί ακο=
λουθείτω. και όπου ειμί εγώ, εκεί και ο διά=
κονος ο εμός έσται. και εάν τις εμοί διακο=
νή τιμήσει αυτόν ο πατήρ. νυν η ψυχή μου
τετάρακται. και τι είπω. πάτερ σώσον με εκ
της ώρας ταύτης. αλλά διά τούτο ήλθον

Dixit ergo iesus. Sinite illam: vt in
diem sepulture mee seruet
illud. Pauperes enim semper habetis (B)
vobiſcũ: me aũt non semper habebitis.
Cognouit ergo turba multa ex iudeis — Mat. 21. a.
quia illic eſt et venerũt non ꝑpter ieſũ — Mar. 11. a.
tantum: sed vt lazarum viderent quem — Luce. 19. d
ſuſcitauit a mortuis. Cogitauerũt aũt prĩ
cipes ſacerdotũ vt ⁊ lazaꝝ interficerent:
qꝛ multi ꝑpter illũ abibãt ex iudeis:
et credebant in ieſuꝫ. In craſtinũ autem — Mat. 21. a.
turba multa q̃ venerat ad diẽ feſtũ: cũ — Mar. 11. b.
audiſſent qꝛ venit ieſus hieroſolymam: — Luce. 19. f.
acceperunt ramos palmarum et
ꝓceſſerunt obuiam ei et clamabant.
Oſanna benedictus qui venit in noĩe
domini rex iſrael. Et inuenit
ieſus aſellum et ſedit ſuper eum: ſicut — Mat. 21. a.
ſcriptum eſt. Noli timere filia — Eſaie. 62. d
ſion: ecce rex tuus venit ſedens — Zacha. 9. b
ſuper pullum aſine. Hec non cognoue (C)
runt diſcipuli eius primuꝫ: ſed quãdo
glorificatꝰ eſt ieſus tũc recordati ſũt qꝛ
hec erant ſcripta de eo. Et hec
fecerũt ei. Teſtimoniũ ergo ꝑhibebat tur
ba que erat cum eo: qñ lazarum voca
uit de monumento: et ſuſcitauit eum a
mortuiꝫ. Propterea ⁊ obuiã vẽit ei tur
ba: quia audierunt eum feciſſe hoc
ſignuꝫ. Phariſei ergo dixerũt ad ſemet
ipſos. Videtꝭ quia nihil ꝓficimꝰ? Ecce
mũdus totꝰ poſt eũ abijt. Erant autẽ
quidã gentiles ex his qui aſcenderãt vt
adorarẽt in die feſto. Hi ergo acceſ=
ſerũt ad philippũ q̇ erat a bethſaida gali=
lee: et rogabant eum dicentes. Domine
volumus ieſuꝫ videre. Venit philippꝰ:
et dicit andree. Andreas rurſum
et philippus dixerũt ieſu. Jeſus autẽ (D)
reſpondit eis dicens. Venit
hora vt clarificetur filiꝰ hominiꝫ. Amẽ
amen dico vobis: niſi granum
frumẽti cadẽs in terrã mortuũ fuerit ipꝫ
ſolũ manet. Si aũt mortuũ fuerit: mul
tũ fructũ affert. Qui amat aĩaꝫ ſuã: ꝑ= — Mat. 10. g.
det eam. Et qui odit animam ſuam — ⁊. 16. f.
in hoc mundo in vitam eternam cuſto — Mar. 8. g.
diet eam. Si quis mihi miſtrat: me ſe — Luce. 17. g.
quatur. Et vbi ſum ego illic ⁊ miniſter
meꝰ erit. Si q̇s mihi ⌐ Nũc aĩa mea — Mat. 26. d.
miniſtrauerit: honorificabit eũ pr̃ meꝰ. — Mar. 14. d
turbata eſt. Et q̃d dicã? Pr̃ ſaluifica
hac hora. Sed ꝑpterea veni ⌞ me ex

© Biblioteca Nacional de España

εἰς τὴν ὥραν ταύτην. πάτερ δόξασόν σου
τὸ ὄνομα. ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρα-
νοῦ. καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. ὁ οὖν
ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βρον-
τὴν γεγονέναι. ἄλλοι ἔλεγον. ἄγγελος αὐ-
τῷ λελάληκεν. ἀπεκρίθη ἰησοῦς καὶ εἶπεν. οὐ
δι᾽ ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι᾽ ὑ-
μᾶς. νῦν κρίσις ἐστὶ τοῦ κόσμου. νῦν ὁ ἄρ-
χων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔ-
ξω. κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς πάντας
ἑλκύσω πρὸς ἐμαυτόν. τοῦτο δὲ ἔλεγε
σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσ-
κειν. ἀπεκρίθη αὐτῷ ὁ ὄχλος. ἡμεῖς ἠκούσα-
μεν ἐκ τοῦ νόμου ὅτι ὁ χριστὸς μένει εἰς
τὸν αἰῶνα. καὶ πῶς σὺ λέγεις δεῖ ὑψωθῆ-
ναι τὸν υἱὸν τοῦ ἀνθρώπου. τίς ἐστιν οὗ-
τος ὁ υἱὸς τοῦ ἀνθρώπου. εἶπεν οὖν αὐτοῖς
ὁ ἰησοῦς. ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ᾽ ὑ-
μῶν ἐστί. περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα
μὴ σκοτία ὑμᾶς καταλάβῃ. καὶ ὁ περιπα-
τῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει. ἕ-
ως τὸ φῶς ἔχετε πιστεύετε εἰς τὸ φῶς, ἵνα
υἱοὶ φωτὸς γένησθε. ταῦτα ἐλάλησεν ὁ ἰη-
σοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ᾽ αὐτῶν. το-
σαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπρο-
σθεν αὐτῶν οὐκ ἐπίστευον εἰς αὐτόν. ἵνα ὁ
λόγος ἠσαΐου τοῦ προφήτου πληρωθῇ ὃν
εἶπε. κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ
ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη. διὰ τοῦ-
το οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶ-
πεν ἠσαΐας. τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλ-
μούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν,
ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι
τῇ καρδίᾳ, καὶ ἐπιστραφῶσι καὶ ἰάσωμαι
αὐτούς. ταῦτα εἶπεν ἠσαΐας ὅτε εἶδε τὴν
δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ. ὅ-
μως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ
ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ διὰ τοὺς φα-
ρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνά-
γωγοι γένωνται. ἠγάπησαν γὰρ τὴν δόξαν
τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν
τοῦ θεοῦ. ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν. ὁ πισ-
τεύων εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ᾽ εἰς
τὸν πέμψαντά με. καὶ ὁ θεωρῶν ἐμέ, θεω-
ρεῖ τὸν πέμψαντά με. ἐγὼ φῶς εἰς τὸν κόσ-
μον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμέ, ἐν
τῇ σκοτίᾳ μὴ μείνῃ. καὶ ἐάν τίς μου ἀκούσῃ
τῶν ῥημάτων καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ κρί-
νω αὐτόν. οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσ-
μον, ἀλλ᾽ ἵνα σώσω τὸν κόσμον. ὁ ἀθετῶν ἐ-
μὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει
τὸν κρίνοντα αὐτόν. ὁ λόγος ὃν ἐλάλησα
ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, ὅ-

in horā hāc. Pater clarifica nomē tuū.
Venit ergo vox de celo dicens.
Et clarificaui et iterū clarificabo.
Turba ergo q̄ ſtabat & audierat: dice-
tonitruū eſſe factū. Alij āt dicebāt. An-
gel9 ei locut9 eſt. Rñdit iesus & dixit. E
Nō ꝑpter me hec vox venit: ſed pro-
pter vos. Nūc iudiciū ē mūdi. Nūc pri-
ceps huius mundi eijcietur foras.
Et ego ſi exaltat9 fuero a terra: omnia
trahā ad meipſū. Hoc autē dicebat
ſignificans qua morte eſſet moriturus.
Reſpondit ei turba. Nos audiuimus
ex lege q2 chriſtus manet in
eternum. Et quō tu dicis oportet exal-
tari filium hominis? Et quis eſt iſte
filius hominis? Dixit ergo eis
iesus. Adhuc modicū lumen in vobis
eſt. Ambulate dum lucem habetis: vt Ephe.5.b.
non vos tenebre cōprehēdāt. Et q̄ ambu- 1.Theſ.5.a
lat in tenebris neſcit quo vadat. Dum
lucem habetis credite in lucem: vt
filij lucis ſitis. Hec locutus eſt iesus:
et abijt & abſcondit ſe ab eis. Cum F
autem tanta ſigna feciſſet coram
eis non credebant in eum: vt
ſermo eſaie ꝓphete impleretur quem
dixit. Dñe q̄s credidit auditui nr̄o? et Eſa.53.a.
brachiū dñi cui reuelatū ē. Propterea
non poterant credere: quia iterū dixit
eſaias. Excecauit oculos eorum: Mat.13.b.
et indurauit cor eorum: Mar.4.b.
vt non videant oculis et non intelligāt Luce.8.b
corde: et conuertantur et ſanem Actu.28.d.
eos. Hec dixit eſaias quādo vidit Eſaie.6.d.
gloriā eius: et locut9 eſt de eo. Verū
tamen et ex principibus multi
crediderūt in eū: ſed ꝑpter phariſeos
nō confitebantur: vt de ſynagoga non
eijcerentur. Dilexerunt enim gloriam
hominum magis q̄ gloriam
dei. Ieſ9 āt clamauit & dixit. Qui cre-
dit in me: non credit in me ſed in
eū q̄ miſit me. Et q̄ videt me: videt G
eū qui miſit me. Ego lux in mundum
veni: vt omnis qui credit in me: in
tenebris nō maneat. Et ſi q̄s audierit
vba mea & nō cuſtodierit: ego nō iu-
dico eū. Nō enim veni vt iudicē mūdū
ſed vt ſaluificē mūdū. Qui ſpernit me
et non accipit verba mea habet
qui iudicet eū. Sermo quē locut9 ſū:
ille iudicabit eū in nouiſſimo die: quia

© Biblioteca Nacional de España

τι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα. ἀλλ' ὁ πέμ
ψας με πατὴρ αὐτός μοι ἐντολὴν ἔδωκε
τί εἴπω καὶ τί λαλήσω. καὶ οἶδα ὅτι ἡ ἐντο
λὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. ἃ οὖν λαλῶ
ἐγώ, καθὼς εἴρηκέ μοι ὁ πατὴρ οὕτως λα
λῶ. Cap.13.
Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ ἰη
σοῦς ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα ἵνα με
ταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πα=
τέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσ
μῳ, εἰς τέλος ἠγάπησεν αὐτούς. καὶ δείπ
νου γενομένου, τοῦ διαβόλου ἤδη βεβληκό
τος εἰς τὴν καρδίαν ἰούδα σίμωνος ἰσκαρι=
ώτου ἵνα αὐτὸν παραδῷ, εἰδὼς ὁ ἰησοῦς ὅ
τι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς
χεῖρας, καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθε καὶ πρὸς
τὸν θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου
καὶ τίθησι τὰ ἱμάτια, καὶ λαβὼν λέντιον δι
έζωσεν ἑαυτόν. εἶτα βάλλει ὕδωρ εἰς τὸν νι
πτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν
μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν δι
εζωσμένος. ἔρχεται οὖν πρὸς σίμωνα πέ=
τρον, καὶ λέγει αὐτῷ ἐκεῖνος. κύριε σύ μου
νίπτεις τοὺς πόδας. ἀπεκρίθη ἰησοῦς καὶ εἶ=
πεν αὐτῷ. ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρ=
τι, γνώσῃ δὲ μετὰ ταῦτα. λέγει αὐτῷ πέ=
τρος. οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν
αἰῶνα. ἀπεκρίθη αὐτῷ ὁ ἰησοῦς. ἐὰν μὴ νί
ψω σε οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. λέγει αὐ=
τῷ σίμων πέτρος. κύριε μὴ τοὺς πόδας
μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κε
φαλήν. λέγει αὐτῷ ὁ ἰησοῦς. ὁ λελουμένος
οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι,
ἀλλ' ἐστὶ καθαρὸς ὅλος. καὶ ὑμεῖς καθαροί
ἐστε, ἀλλ' οὐχὶ πάντες. ᾔδει γὰρ τὸν πα=
ραδιδόντα αὐτόν. διὰ τοῦτο εἶπεν οὐχὶ
πάντες καθαροί ἐστε. ὅτε οὖν ἔνιψε τοὺς
πόδας αὐτῶν, καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ,
ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς. γινώσκετε
τί πεποίηκα ὑμῖν. ὑμεῖς φωνεῖτέ με ὁ δι=
δάσκαλος καὶ ὁ κύριος, καὶ καλῶς λέγετε.
εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πό=
δας ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀ
φείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. ὑπό
δειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐ
ποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. ἀμὴν ἀμὴν
λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ
κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων
τοῦ πέμψαντος αὐτόν. εἰ ταῦτα οἴδατε,
μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά. οὐ περὶ πάν
των ὑμῶν λέγω. ἐγὼ οἶδα οὓς ἐξελεξάμην
ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ. ὁ τρώγων μετ'
ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρ=

ego ex meipo non ſum locut9: ſed q̇ mi
ſit me pater: ipe mihi mandatū dedit
q̇d dicā ⁊ q̇d loquar. Et ſcio q2 māda
tū ei9 vita eterna eſt. Que ergo ego lo=
quor: ſicut dixit mihi pater ſic loquor.
Cap.13.
Ante diē feſtum paſche ſciens ieſus
q2 venit hora eius vt tranſeat
ex hoc mundo ad patrem:
cum dilexiſſet ſuos qui erant in mundo:
in finem dilexit eos. Et cena Luce.22.a.
facta cum diabolus iam miſiſſet
in cor vt traderet eū iudas ſimonis ſca
riotis: ſciens quia Mat.11.g.
omnia dedit ei pater in Luce.10.f. ſup.6.c.
manus: et quia a deo exiuit et ad
deum vadit: ſurgit a cena ⌈teū
⁊ ponit veſtimēta ſua: et cū accepiſſet li
precinxit ſe. Deinde miſit aquā in pel
uim: et cepit lauare pedes ⌈p̄cinct9.
diſcipulorum: ⁊ extergere litheo quo erat
Venit ergo ad ſimonem petrum.
Et dicit ei petr9. Domine tu mihi
lauas pedes? Reſpondit ieſus: et dixit
ei. Quod ego facio tu neſcis modo:
ſcies autē poſtea. Dicit ei petrus.
Non lauabis mihi pedes in
eternum. Rn̄dit ei ieſus. Si non laue
ro te non habebis partē mecū. Dicit ei
ſimon petr9. Dn̄e non tantum pedes
meos: ſed et manus et caput.
Dicit ei ieſus. Qui lotus eſt B
non indiget niſi vt pedes lauet:
ſed eſt mundus totus. Et vos mundi
eſtis ſ3 nō oēs. Sciebat enī q̇s nā eēt q̇ tra
deret eū. Propterea dixit non
eſtis mundi omnes. Poſtq̄ ergo lauit
pedes eorum: accepit veſtimēta ſua: ⁊ cu3
recubuiſſet iterum dixit eis. Scitis
q̇d fecerī vobis. Vos vocatis me ma
giſter ⁊ domine et bene dicitis.
Sū eteni. Si ergo ego laui pedes ve= Galla.6.a.
ſtros dominus ⁊ magiſter: vos debetis
alter alterius lauare pedes. Exemplu3
eni dedi vobis: vt queadmodū ego fe=
ci vobis: ita et vos faciatis. Amen amē Mat.10.c.
dico vobis: non eſt ſeruus maior Luce.6.f. j.15.f.
domino ſuo: nec3 apoſtolus maior eſt
eo qui miſit illum. Si hec ſcitis
beati eritis ſi feceritis ea. Nō de oib9
vobis dico. Ego ſcio quos elegerim.
S3 vt adimpleat ſcriptura. Qui mādu Pſal.40.
cat mecū panē: leuauit cōtra me calca=

© Biblioteca Nacional de España

ναν αυτού. απάρτι λέγω υμίν προ/του γενέ
σθαι, ίνα όταν γένηται πιστεύσητε ότι εγώ
ειμί. αμήν αμήν λέγω υμίν/ο λαμβάνων ε
άν τινά πέμψω, εμέ λαμβάνει./ο δε εμέ λαμ
βάνων, λαμβάνει/τον πέμψαντα με. ταύτα
ειπών/ο ιησούς εταράχθη/τω πνεύματι και
εμαρτύρησε και είπεν. αμήν αμήν λέγω υ=
μίν ότι εις εξ υμών παραδώσει με. έβλεπον
ουν εις αλλήλους/οι μαθηταί απορούμενοι
περί τίνος λέγει. ην δε ανακείμενος εις/των
μαθητών αυτού εν/τω κόλπω/του ιησού
ον ηγάπα/ο ιησούς. νεύει ουν τούτω σίμων
πέτρος πυθέσθαι τις αν είη περί ου λέγει.
επιπεσών δε εκείνος επί/το στήθος/του ιησού
λέγει αυτώ. κύριε τις εστίν. αποκρίνεται/ο
ιησούς. εκείνος εστίν ω εγώ βάψας/το ψω
μίον επιδώσω. και εμβάψας/το ψωμίον, δί
δωσιν ιούδα σίμωνος ισκαριώτη. και μετά
/το ψωμίον τότε εισήλθεν εις εκείνον/ο σατα
νάς. λέγει ουν αυτώ/ο ιησούς. ο ποιείς ποί
ησον τάχιον. τούτο δε ουδείς έγνω/των α
νακειμένων προς τι είπεν αυτώ. τινές γαρ ε
δόκουν επεί/το γλωσσόκομον είχεν/ο ιού=
δας, ότι λέγει αυτώ/ο ιησούς, αγόρασον ων
χρείαν έχομεν εις/την εορτήν, η/τοις πτω=
χοίς ίνα τι δω. λαβών ουν/το ψωμίον εκεί=
νος ευθέως εξήλθεν. ην δε νυξ ότε εξήλθε. λέ
γει/ο ιησούς. νυν εδοξάσθη/ο υιός/του αν=
θρώπου, και/ο θεός εδοξάσθη εν αυτώ. ει/ο
θεός εδοξάσθη εν αυτώ, και/ο θεός δοξάσει
αυτόν εν εαυτώ, και ευθύς δοξάσει αυτόν.
τεκνία, έτι μικρόν μεθ υμών ειμί. ζητήσετε
με, και καθώς είπον/τοις ιουδαίοις, ότι ό=
που υπάγω εγώ υμείς ου δύνασθε ελθείν.
και υμίν λέγω άρτι. εντολήν καινήν δίδω
μι υμίν ίνα αγαπάτε αλλήλους, καθώς ηγά
πησα υμάς, ίνα και υμείς αγαπάτε αλλή=
λους. εν τούτω γνώσονται πάντες ότι εμοί
μαθηταί εστέ εάν αγάπην έχητε εν αλλή=
λοις. λέγει αυτώ σίμων πέτρος. κύριε που
υπάγεις. απεκρίθη αυτώ/ο ιησούς. όπου
εγώ υπάγω ου δύνασαι με νυν ακολουθή=
σαι, ύστερον δε ακολουθήσεις μοι. λέγει αυ
τώ πέτρος. κύριε, διατί ου δύναμαι σοι α=
κολουθήσαι άρτι,/την ψυχήν μου υπέρ σου
θήσω. απεκρίθη αυτώ/ο ιησούς./την ψυ=
χήν σου υπέρ εμού θήσεις. αμήν αμήν λέ=
γω σοι, ου μη αλέκτωρ φωνήση έως ου α=
παρνήση με τρις. Cap.14.

Μη ταρασσέσθω υμών/η καρδία. πιστεύε
τε εις/τον θεόν, και εις εμέ πιστεύετε.
εν/τη οικία/του πατρός μου μοναί πολλαί
εισίν. ει δε μη, είπον αν υμίν. πορεύομαι

neū ſuū. Amodo dico vobis priuſq̃ fiat
vt cum factū fuerit credatis: qꝛ ego
ſū. Amē amē dico vobis: q̃ accipit ſi Mat.10.g.
quē miſero: me accipit. Qui aūt me ac Lucc.10.c.
cipit: accipit eum qui me miſit. Cū hec C
dixiſſet ieſus turbatus eſt ſpiritu: et
ꝓteſtatꝰ eſt ⁊ dixit. Amen amē dico vo Mat.26.b.
bis qꝛ vnꝰ ex vobis tradet me. Aſpicie Mar.14.b
bant ergo ad inuicem diſcipuli heſitātes Lucc.22.c.
de quo diceret. Erat ergo recūbēs vnꝰ j.21.f.
ex diſcipulis eius in ſinu ieſu
quē diligebat ieſꝰ. Innuit ergo huic ſi
mō petrꝰ ⁊ dixit ei. Quis ē de quo dicit.
Itaq̧ cū recubuiſſet ille ſupra pectꝰ ieſu
dicit ei Domine quis eſt? Reſpondit
ieſus. Ille eſt cui ego intinctum panē
porrexero. Et cum intinxiſſet panē de
dit iude ſimonis ſcariote. Et poſt
buccellā introiuit in eum ſathanas.
Et dicit ei ieſus. Quod facis fac
citiꝰ. Hoc aūt nemo ſciuit diſcūbentiū
ad q̄d dixerit ei. Quidā enim putabāt
quia loculos habebat iudas
ꝙ dixiſſet ei ieſus: eme ea que
opꝰ ſūt nobis ad diē feſtū: aut egenis
vt aliq̄d daret. Cum ergo accepiſſet ille
bucellā: exiuit cōtinuo. Erat aūt nox. D
Cū ergo exiſſet dixit ieſus. Nūc clarifi
catꝰ ē filiꝰ hois: ⁊ deꝰ clarificatꝰ eſt in
eo. Si deꝰ clarificatꝰ ē in eo: ⁊ deꝰ cla
rificabit eū in ſemetipō: ⁊ ꝯtinuo clarifi
cabit eū. Filioli: adhuc modicū vobiſcū
ſū. Quereti me: ⁊ ſicut dixi iudeis: quo ſup.7.c.
ego vado vos non poteſtis venire.
Et vobis dico mō. Mādatū nouū do 1.Cor.4.d
vobis: vt diligatis inuicem ſicut dilexi Ephe.5.a
vos vt et vos diligatis inuicem. Philip.3.c
In hoc cognoſcent oēs qꝛ diſcipuli mei 1.Theſ.4.b
eſtis: ſi dilectionē habueritis ad inuicē.
Dicit ei ſimon petrus. Domine quo
vadis. Reſpondit ieſus. Quo
ego vado non potes me modo ſequi:
ſequeris aūt poſtea. Dicit ei
petrus. Quare non poſſum te ſequi
modo? Animam meam pro te
ponam. Reſpondit ei ieſus. Animam
tuam pro me pones. Amen amen di= Mat.26.c.
co tibi: non cantabit gallus donec Mar.14.d
ter me neges. Cap.14. Luce.22.c.

Et ait diſcipulis ſuis. Nō turbet cor A
vrm neq̧ formidet. Creditis in deū ⁊
in me credite. In domo pr̄is mei mā
ſiōes mlte ſūt. Si quo minꝰ: dixiſſē vo

© Biblioteca Nacional de España

ετοιμάσαι τόπον υμίν. και εάν πορευθώ
και ετοιμάσω υμίν τόπον, πάλιν έρχομαι
και παραλήψομαι υμάς πρός εμαυτόν, ί=
να όπου ειμί εγώ, και υμείς ήτε. και όπου
εγώ υπάγω οίδατε, και την οδόν οίδατε.
λέγει αυτώ θωμάς κύριε ουκ οίδαμεν που
υπάγεις, και πως δυνάμεθα την οδόν ειδέ
ναι. λέγει αυτώ ο ιησούς. εγώ ειμί η οδός
και η αλήθεια και η ζωή. ουδείς έρχεται
προς τον πατέρα ει μή δι εμού. ει εγνώκει
